Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Commentarius in Evang. Marci

https://hdl.handle.net/1874/379825

40

Aevum vetus.
Scriptores graeci.
No. 8.

Kast I
Pl. E. No 2

**10** (*Gr. 8, antea 280o.*) *Charta. fol. 62 ff. Saec. XVII.*

**Victor Antiochenus**, Commentarius in Evang. Marci.

(Incipit:) *Πολλῶν εἰς τὸ κατὰ Ματθαῖον*, etc.

Ex bibl. Fra. Brava de Acuña. In fronte legitur: „Origenes in Marcum ex Biblioth. Regis Christianiss. beneficio amicissimi Rigaltii." Postea fuit Hadr. Relandi.

Hs.
1 E 2

280. 0.

D. Fr. [illegible] de Auna, Cauallero noble de Españ[a] 1

# Origenes in Euangelium Marci

## vel Victor Antiochenus.

Origenes in Marcum [illegible] Rex Christianissimi [illegible] amicissimi [illegible]

Πολλων εις το κατα ματθαιον, εις το κατα ιωαννην
τον υιον της βροντης συνταξαντων υπομνηματα, ολιγων
δε εις το κατα λουκαν, ουδενος δε ολως ως οιμαι εις το
κατα μαρκον ευαγγελιον εξηγησαμενου, συνειδον εγω-
γε τα κατα μερος και σποραδην εις αυτο ειρημενων ἔγωγε
παρα των διδασκαλων συναγαγειν και συντομον ερμην-
ειαν συνταξαι, οπως μη μονον απο των της καινης δια-
θηκης βιβλιων δοκειν παρεωρασθαι, η ως μηδεμιας επιστα-
σεως δεομεν, η ως μη δυναμενων ημων εκ της των λοιπ-
ων ερμηνειας τυτυ την διανοιαν εξευρισκειν. Μετα Ματ-
θαιον Μαρκος ο ευαγγελιστης συγγραφην ποιειται, εκαλ-
ειτο δε και ο ιωαννης. υιος δε ουτος εστι Μαριας της τους
αποστολους εξιουμενης εν ιερουσαλημ εν τη αυτης οικια ως
εν ταις πραξεσι των αποστολων δηλουται, και τας μεν αρ-
χας τω βαρναβα ανεψιω οντι αυτου και τω παυλω συνει-
πετο, ως παλιν εν ταις πραξεσι των αποστολων ειρηται.
Μετα δε ταυτα συν τω Πετρω επι της ρωμης. την ιεραν
τοιαυτην του θειου κηρυγματος διδασκαλιαν παρα των μαθη-
των του σωτηρος εκδεδεγμενος συν αυτοις εποιειτο ταυτην.
και επι της ρωμης επληρου. οι και παρεκαλεσαν παντοιαις ρα
αυτον ητουν αυτοθι εγγραφον αυτοις εκθεσθαι την διηγη-
σιν του κηρυγματος σωτηριου. ο και πεποιηκε, και
ταυτην ειναι μεν την αιτιαν της του λεγομενου κατα
μαρκον ευαγγελιου συγγραφης. γνοντα δε το πραχθεν
τον αποστολον Πετρον αποκαλυψαντος αυτω του πνευμα-

[library stamp]

Hadriani Relandi.

τος ἡσθῆναι μὲν τῇ τῶν ἀνδρῶν προθυμίᾳ, κυρῶσαί τε τὴν γραφὴν εἰς ἔντευξιν ταῖς ἐκκλησίαις. ἀπὸ δὲ τῆς ῥώμης, ἐπίσκοπον αὐτὸν χειροτονήσας εἰς τὴν Αἴγυπτον ἐκπέμπει, ἔνθα δὴ καὶ τὸ εὐαγγέλιον ὃ δὴ καὶ συνεγράψατο κηρύξας ἐκκλησίας πρῶτον ἐπ' αὐτῆς Ἀλεξανδρείας ἱδρυσάμενος, καὶ τὰς ἱερὰς λειτουργίας ποιούμενος τοὺς πρὸς τῷ μεσημβρινῷ κλίματι τὸν εὐσεβῆ τῆς εἰς Χριστὸν πίστεως λόγον κατηχήσας ἐφώτισεν.

Μάρκος εὐαγγελιστὴς ἀπὸ τοῦ προφητικοῦ πνεύματος τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο, ἀρχὴ λέγω τοῦ εὐαγγελίου καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ τὴν πτερωτικὴν εἰκόνα δεικνύων τοῦ εὐαγγελίου, διὰ τοῦτο σύντομον καὶ παρατρέχουσαν τὴν καταγγελίαν πεποίηται· προφητικὸς γὰρ ὁ χαρακτὴρ οὗτος. δείκνυσι δὲ ~~γὰρ~~ ὅτι ἡ τοῦ εὐαγγελίου ἀρχὴ τῶν ἰουδαϊκῶν γραμμάτων ἤρτηται. ἔχοντος γὰρ αὐτοῦ ἀρχὴν καὶ μέσα, καὶ τέλη· ἤτοι πᾶσα ἐστὶν ἡ παλαιὰ διαθήκη ἀρχὴ, τύπου αὐτῆς ὄντος Ἰω, ἢ διὰ τὴν συνάφειαν τῆς καινῆς πρὸς τὴν παλαιὰν, τὰ τέλη τῆς παλαιᾶς διὰ Ἰωάννην παρισάμενα, ἀρχὴ τοῦ εὐαγγελίου γίνεται. Ἰωάννην γὰρ τὸν τελευταῖον τῶν προφητῶν ἀρχὴν εἶναι τοῦ εὐαγγελίου φησὶν ἐπιφέρων, "ὡς γέγραπται ἐν τοῖς προφήταις· ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου." τοῦτο δὲ τὸ προφητικὸν Μαλαχίου ἐστὶν οὐκ Ἡσαΐου· σφάλμα δὲ ἐστὶ γραφέως. ἄλλος δέ φησι· δύο προφητείας ἐν διαφόροις εἰρηκέναι τόποις ὑπὸ δύο προφητῶν, εἰς ἓν συναγαγὼν πεποίηκε, καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ

ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου
σου ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.
φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ ὑπὸ Ἠσαΐου μετὰ τὴν περὶ
τοῦ Ἐζεκίου ἱστορίαν ἀναγέγραπται. τὸ δὲ, ἰδοὺ ἐγὼ ἀπο-
στέλλω τὸν ἄγγελόν μου, ὑπὸ Μαλαχίου. ἐπιτεμόμενος
οὖν ὁ εὐαγγελιστὴς ὡς ὑπὸ Ἠσαΐου εἰρημένας τὰς δύο
χρήσεις παρέθηκε. τὴν δὲ ὁμοίαν ἐπιτομὴν πεποίηται
καὶ ἐπὶ τοῦ, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ
προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν
σου παρασιωπήσας. καὶ ἐν ἄλλοις δὲ οὐ μόνον αὐτὸς
ἀλλὰ καὶ οἱ λοιποὶ εὐαγγελισταὶ ὁμοίως ποιοῦσιν, ἐπι-
τεμόμενοί τε προφητικὰς ῥήσεις. σαφῶς δὲ παρίστησιν
ἡ προφητεία, μὴ ἐν τῇ Ἱερουσαλὴμ γενέσθαι τὰ τεθ-
εσπισμένα, ἀλλ' ἐπὶ τῆς ἐρήμου, ἅ τινα ἐπληροῦτο πρ-
ὸς ἱστορίαν καὶ λέξιν, ἐπὶ τοῦ βαπτιστοῦ Ἰωάννου κηρύσσ-
οντος τὴν σωτήριον ἐπιφάνειαν ἐν τῇ ἐρήμῳ τοῦ Ἰορ-
δάνου, ἐν ᾗ καὶ ἡ δόξα τοῦ Χριστοῦ πᾶσιν ἐγνώσθη.
αὐτὴ γὰρ εἶναί φησι τὸν Ἰωάννην τὸν βοῶντα ἐπὶ τῇ
ἐρήμῳ. παρίστησι ὁ λόγος. καὶ τὴν ἔρημον ἑτέραν ὁ
Ἰωάννης παρὰ τὴν Μωσέως δεικνύουσιν, ἐν ᾗ τὰς διατρι-
B βὰς ἐποιεῖτο. ἤδη δὲ ἐπὶ θύραις παρεῖναι ἐσήμαινε
τὸ σωτήριον τοῦ θεοῦ. ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος «
τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν «
αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. σαφέσ- «
τερον ὁ Ματθαῖος φησὶν ὡς τὸ ἔνδυμα αὐτοῦ ἦν ἀπὸ
τριχῶν καμήλου, οὕτω μετανοίας εἶχε σύμβολον τὸ
σχῆμα ἐκεῖνο. τὸ μὲν γὰρ ἔνδυμα αὐτοῦ πένθους ἦν

σύμβολον. ἡ δερματίνη δὲ ζώνη νεκρώσεως τοῦ λαοῦ.
καὶ ἡ τροφὴ δὲ αὐτοῦ ὡς ἡγοῦμαι σύμβολον ἦν τῆς
λογικῆς τότε τοῦ λαοῦ τροφῆς, οὐκ ἐσθίοντός τι τῶν
καθαρῶν πετεινῶν τοῦ οὐρανοῦ. τρεφομένου, εἰ καὶ
δοκεῖ τι λόγων μετεωροπόρων, ἀλλ' οὐ βεβηκότι
ἐπὶ τῶν πτερύγων, οὐδὲ δυναμένων ὑπεράνω βαίνειν
αὐτῆς· ὥσπερ οὖν καὶ μέλι ἄγριον γενόμενον ὑπὸ
τῶν νοητῶν μελισσῶν τῶν προφητῶν, μὴ γεωργούμ-
ενον δὲ καὶ ἡμερούμενον, διὰ τῆς ἐμμελοῦς νοήσεως,
καὶ ζητήσεως. καὶ ἐ   Καὶ ἐκήρυσσε λέγων, ἔρχεται
ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύ-
ψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.
ἰσοδυναμεῖ τοῦτο, τῷ ὀπίσω μου ἐρχόμενος ὑπὸ Ματ-
θαίου λεχθέντι. ταυτὸν δὲ ἐστι τῷ οὗ οὐκ εἰμὶ ἱκανὸς
τὰ ὑποδήματα βαστάσαι ὅ φησιν ὁ Ματθαῖος, τῷ
κύψαντα λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. καὶ
ἀκολουθοῦντες μηδενὸς σφαλλομένου τῶν εὐαγγελιστῶν
ἀμφότερα κατὰ διαφόρους καιροὺς εἰρηκέναι τὸν βαπ-
τιστὴν, καθ' ἕτερον νοῦν. κειμένου γὰρ περὶ τοῦ αὐτ-
οῦ, ὡς οἴονταί τινες οἱ ἀπομνημονεύσαντες, διαφόρως
ἠνέχθησαν μὴ ἀκριβοῦντες τῇ μνήμῃ ἕκαστον τῶν
εἰρημένων, ἢ γεγενημένων. ἱμάντα δέ φησι τὸν σφαι-
ρωτῆρα τοῦ ὑποδήματος. πρὸς οὖν τὸ μέγεθος τοῦ
1 τῶν ἀξιώματος, καὶ τῆς θεότητος ὑπεροχὴν ἀφορῶν, οὐ-
δὲ ἐν ὑπηρέτου φησὶ τάξει καταλογισθῆναι ἱκανός
εἰμι. μέγα μὲν οὖν τὸ τὰ ὑποδήματα βαστάσαι Ἰησοῦ·
μέγα δὲ καὶ τὸ ἐπὶ τὰ σωματικὰ κάτω καὶ κατω
κύψαντα

κύψαντά τινα, τὴν εἰκόνα τῶν ἄνω. κάτω ἰδεῖν, καὶ λῦσαι
ἕκαστον τῶν περὶ τοῦ μυστηρίου τῆς ἐνσωματώσεως, καὶ τῆς
εἰς ᾅδου καταβάσεως ἀσαφῶν οἱονεὶ ἱμάντα ὑποδημάτων
ὄντα. εἷς γὰρ ὁ τῆς ἀσαφείας δεσμὸς ὡς μία ἡ τῆς ~~γνω-~~
γνώσεως κλῆσις· ἅτινα οὐδ᾽ ἐν γεννητοῖς γυναικῶν μείζων
ἰωάννης δύναται λῦσαι ἄνευ τοῦ δήσαντος· ὡς μηδέποτε
δὲ πνεύματος ἁγίου δοθέντος. ” ἐν ὕδατι βαπτίζειν φησί,
αὐτὸν δὲ ~~βαπτίζειν~~ βαπτίσειν ἐν πνεύματι ἁγίῳ προλέ-
γει. ” ὅπερ καὶ ἔτυχον μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον
τοῦ χριστοῦ, πρῶτοι οἱ θεσπέσιοι μαθηταί, κατὰ τὴν
τοῦ σωτῆρος ἐπαγγελίαν. ” ἦλθεν ἰησοῦς ἀπὸ Ναζα-
ρὲτ τῆς γαλιλαίας καὶ ἐβαπτίσθη ὑπὸ ἰωάννου εἰς ἰορ-
δάνην. ” ἕτερα τινὰ οἰκονομῶν ἐπὶ τὸ βάπτισμα ἔρχε-
ται τοῦ ἰωάννου. ὃ τοῦ μὲν ἑτέρου ἀτελέστερον ἦν,
τοῦ δὲ ἰουδαϊκοῦ ὑψηλότερον· μέσον πως ἀμφοτέρων
ὑπάρχον. ἵνα διὰ τῆς τοῦ βαπτίσματος φύσεως δείξῃ
ὅτι οὐ διὰ ἁμαρτίας ἐβαπτίσθη. οὐδὲ ὡς τῆς τοῦ πνεύ-
ματος δεόμενος χορηγίας, ἑκατέρου γὰρ τούτων ἔρημον
ἦν ἐκεῖνο τὸ βάπτισμα. ἀλλ᾽ οὐδὲ πολὺ πλέον εἰς με-
τάνοιαν καθάπερ οἱ λοιποὶ παραγίνεται. καὶ αὐτοῦ
γὰρ τοῦ βαπτιστοῦ πολὺ μείζων ἦν καὶ ἀσυγκρίτως κα-
D. θαρώτερος. καὶ διὰ τοῦτο δὲ ἐβαπτίσατο ἵνα γνωρισθῇ
τοῖς πολλοῖς, καὶ πιστεύσωσιν εἰς αὐτόν. διὰ τοῦτο δὲ καὶ

ἢ τοῦ πνεύματος τηνικαῦτα γίνεται κάθοδος· οὐχ
ὡς τότε πρῶτον ἐπιφοιτήσαντος, οὐδὲ γὰρ ἦν τούτου
ἔρημος, ἀλλ' ἵνα δείξῃ τὸν κηρυττόμενον, ὥσπερ
δακτύλῳ τινὶ τῇ πλήσει πᾶσι γνώριμον ποιοῦν· καὶ
διὰ τὸ πληρῶσαι πᾶσαν δικαιοσύνην, ἥτις ἐστὶ τῶν
ἐντολῶν ἡ πλήρωσις. ἐντολὴ δὲ καὶ τὸ πειθῆναι προ
φήτῃ βαπτίζοντι· εἰ δὲ, καὶ διὰ τὸ ἁγιάσαι τὰ ὕδατα
ἡμῖν ἐβαπτίσθη. καὶ τοῦτο λέγων, οὐχ ἂν ἁμαρτοις·
διὸ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς κατῄει· ὅπου
γὰρ καταλλαγὴ θεοῦ· περιστερὰ ὡς ἐπὶ τῆς κιβωτοῦ
Νῶε· ἅμα δὲ καὶ δηλοῦν, ὅτι καὶ τὸν πνευματικὸν
ἀπόνηρον εἶναι χρὴ καὶ πρᾶον· ἁπλοῦν τε καὶ ἄδολον
σχίζονται δὲ οἱ οὐρανοὶ, ἢ κατὰ Ματθαῖον ἀνοίγονται,
ἵνα τοῖς ἀνθρώποις ἀποδοθῇ ἐξ οὐρανοῦ ὁ ἁγιασμὸς,
καὶ συναφθῇ τοῖς ἐπιγείοις τὰ οὐράνια. ἡ δὲ φωνὴ ἡ
ἐνεχθεῖσα ἀγγελική τις ἦν, ἢ καὶ ἑτέρα ἐκ προσώπου
" τοῦ πατρός. " καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκ-
" βάλλει εἰς τὴν ἔρημον. καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας
" μ̄· πειραζόμενος ὑπὸ τοῦ σατανᾶ καὶ ἦν μετὰ τῶν
" θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. ἐπειδὴ πρὸς δι-
δασκαλίαν ἡμῶν ἔπραττέ τε καὶ ὑπέμεινε πάντα, ἀνέχε-
ται καὶ τῆς ἐκεῖσε ἀναγωγῆς, καὶ τῆς πρὸς τὸν διάβο-
λον πάλης. ἵνα ἕκαστος τῶν βαπτιζομένων, εἰ μετὰ τὸ
βάπτισμα μείζονας ὑπομείνειε πειρασμούς, μὴ ταράτ-
τηται. ὡς παρὰ προσδοκίαν τοῦ πράγματος γενομέ-
νου· ἀλλὰ μένῃ γενναίως πάντα φέρων· διὰ πολλοὺς

δὲ τοὺς τρόπους γίνεσθαι συγχωρεῖ ὁ θεὸς τοὺς πειρασμούς.
καὶ ἵνα γνῷς ὅτι ἐν μείζονι καθ καθεσθῆς τιμῇ. οὐδὲ
γὰρ ἂν ἐπῆλθεν ὁ διάβολος, εἰ μή που ἐν μείζονι γενόμενον
εἶδε τιμῇ. διὰ τοῦτο δὲ οὐκ ἀνιόντα ἁπλῶς δείκνυσί σοι
τὸν ἰησοῦν, ἀλλ' ἀναγόμενον κατὰ τὸν τῆς οἰκονομίας λό-
γον. καὶ αἰνιττόμενον διὰ τούτων ὅτι οὐκ αὐτοὺς ἐπιπη-
δᾶν χρή. ἀλλ' ἑλκομένους ἑστάναι γενναίως. ἕλκει δὲ αὐτὸν
εἰς τὴν ἔρημον. ἐπειδὴ τὸν διάβολον ἐβούλετο ἐπισπάσα- optime sena / licet ...
σθαι, οὐ διὰ τῆς πείνης μόνον ἀλλὰ καὶ διὰ τοῦ τόπου
δίδωσιν αὐτῷ λαβήν. τότε γὰρ μάλιστα ἐπιτίθεται, ὅταν
ἴδη μεμονωμένους ἡμᾶς καὶ καθ' ἑαυτοὺς ὄντας. αὕτη
F δὲ ἄβατος ἦν ἡ ἔρημος καὶ ὡς θηρίων πλήρης ὑπάρχειν.
διηκόνουν δὲ αὐτῷ οἱ ἄγγελοι μετὰ τὴν πεῖραν καὶ τὴν κατὰ
τῶν τοῦ διαβόλου νίκην, τὴν ἀνθρώπων κατεργαζόμενοι σωτηρίαν.
νόει δέ μοι καὶ καθ' ἕκαστον ὅτι ~~—~~ συντελεσθέντος παντὸς
πειρασμοῦ ἄγγελοι προσέρχονται διακονοῦντες τῷ νενική-
κότι. "Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς γαλι- «
λαίας, εἶδε σίμωνα καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, αὐτοῦ «
τοῦ σίμωνος βάλλοντας ἀμφίβληστρα ἐν τῇ θαλάσσῃ, ἦσαν «
γὰρ ἁλιεῖς." ἀκολούθως τῷ ματθαίῳ ὁ παρὼν εὐαγ-
γελιστὴς ἐκτίθεται. κἀκεῖνος γὰρ μετὰ τὸ εἰπεῖν ὡς ἄγ-
γελοι ~~προῆλθον~~ προσῆλθον. καὶ διηκόνουν αὐτῷ, ἐπιφέρει,
ἀκούσας δὲ ὅτι ἰωάννης παρεδόθη ἀνεχώρησεν εἰς τὴν

γαλιλαίαν. καὶ μετ' ὀλίγα· ἀπὸ τότε ἤρξατο ὁ ἰωάννης κηρ-
ύσσειν καὶ λέγειν, μετανοεῖτε. προσέχειν χρὴ ὅτι ὁ μὲν
ἰωάννης ἐν τῇ ἐρήμῳ τῆς ἰουδαίας κηρύσσει λέγων πρὸ
τοῦ. „ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. μετανοεῖτε.
ὁ δὲ σωτὴρ ἡμῶν ἀναχωρήσας εἰς τὴν γαλιλαίαν, καὶ
καταλιπὼν τὴν ναζαρὲτ ὡς ματθαῖος φησιν, ἐλθὼν κατῴ-
κησεν εἰς καπερναοὺμ τὴν παραθαλασσίαν καὶ ἀπὸ τότε
ἤρξατο κηρύσσειν καὶ λέγειν, οὐχὶ, τὸ, μετανοεῖτε. καὶ
τὰ ἑξῆς, ἀλλὰ μόνον, τὸ, ἤγγικεν ἡ βασιλεία τῶν οὐ-
ρανῶν. ἔδει γὰρ τὸ μετανοεῖτε προτασσόμενον τούτου,
λεχθῆναι ὑπὸ ἰωάννου ἑτοιμάζοντος τὴν ὁδὸν κυρίου.
κατὰ δὲ τὸν μάρκον τουτονὶ ὁ κύριος ἡμῶν ἔλεγε.
„τό· πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ
„τοῦ θεοῦ." εἶδε πληρωθέντος τοῦ καιροῦ κατὰ τό,
ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν ὁ θεὸς
τὸν υἱὸν αὐτοῦ, τὴν διὰ τῶν προφητῶν αὐτοῦ πέρας
εἰληφέναι οἰκονομίαν φησίν. διὸ μετὰ τὸν πειρασμόν,
καὶ τοὺς προσελθόντας ἀγγέλους διακονεῖν τῷ ἰησοῦ;
ἀκούει ὁ ἰησοῦς ὅτι ἰωάννης παρεδόθη. μετὰ δὲ τὸ
παραδοθῆναι τὸν ἰωάννην, ἀναχωρεῖ εἰς τὴν γαλιλαί-
αν διδάσκων ἡμᾶς μὴ ὁμόσε χωρεῖν μηδὲ διαμάχεσθαι τῇ
βίᾳ τῶν πονηρῶν. ἄλλως τε τηρεῖ ἑαυτὸν ταῖς πρὸ τοῦ
πάθους διδασκαλίαις καὶ θεραπείαις ἵνα πληρώσας αὐτὰς
καὶ μετὰ τοῦτο ἑαυτὸν ταπεινώσας ὑπήκοος γένηται
μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἀνεχώρησε δὲ
μὴ δυνάμεν διαμεῖνας διωχθῆναι. ἀλλ' ὡς ἐνδεχομένου
τοῦ αὐτὸν διωχθήσεσθαι μετὰ τὸ παραδοθῆναι τὸν ἰωάν-
νην. ἡ δὲ βασιλεία τοῦ θεοῦ ταὐτόν ἐστι καθ' ὑπόστασιν
τῇ βασιλείᾳ

hic desunt plurima, quae extant in codice Laurentiano, et ea posuimus ad finem huius codicis, ubi sunt variae lectiones. nihil deest, sed folia erant mutata.

τῇ βασιλείᾳ τῶν οὐρανῶν καὶ τῇ ἐπινοίᾳ διαφέρειν δοκῇ.
ἀλλ' ἡ μὲν νοεῖται παρὰ τὸν βασιλεύοντα θεόν· ἡ δὲ παρὰ
χώραν τὴν χώραν τῶν βασιλευομένων, οὔτε τῶν ἐν οὐρανοῖς ὑπ'
ἄλλου, ἢ ὑπὸ θεοῦ βασιλευομένων, ὅτι πρόσωπον πρὸς πρό- οὔτε
σωπον εἰσὶν ἐν τοῖς τῆς ἐπαγγελίας ἀγαθοῖς, ἐν ἑτέρᾳ
τυγχανόντων χώρᾳ παρὰ τοὺς οὐρανοὺς εἴθε εἴτε τὸν πό-
θον θέλει τις σωματικῶς λαμβάνειν, εἴτε τὴν τοιάνδε κατάστα-
σιν τῶν φορούντων εἰκόνα τοῦ ἐπουρανίου· σαφῶς γὰρ
ἡ βασιλεία τοῦ θεοῦ οὔτε ἐν τόπῳ οὔτε ἐν χρόνῳ ἐστί.
τὸ δὲ μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ, ὅρα εἰ
δύναται λέγειν, ὅτι τὸ μὲν ἰωάννου μετανοεῖτε, προε-
καλεῖτο τοὺς ἀκούοντας ἀποθέσθαι τὰ ἐν τῷ βίῳ ἁμ-
αρτήματα, τὸ δὲ ἰησοῦ προτρέπει εἰς τὸ μετανοεῖν ἀπὸ
1. τοῦ νομικοῦ γράμματος ἐπὶ τὸ τῆς χάριτος πνεῦμα ἀν-
ακάλυπτον ἐν τῷ εὐαγγελίῳ. "καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν "
2. " ἄνθρωπος ἐν πνεύματι ἀκαθάρθῳ καὶ ἀνέκραξε λέγων, ἔα, " ἀκαθάρτῳ
τί ἡμῖν καὶ σοὶ ἰησοῦ Ναζαρηνέ· ἦλθες ἀπολέσαι ἡμᾶς "
οἶδά σε τίς εἶ· ὁ ἅγιος τοῦ θεοῦ. διὰ προσθήκης τοῦ
ἀκαθάρτου· διαστέλλει τὴν ὁμοίωσιν τοῦ πνεύματος· πνεῦμα
γὰρ καὶ ὁ ἀὴρ καὶ ἡ ψυχὴ καὶ ὁ ἄγγελος. καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον, ἵνα τοίνυν τῇ κοινότητι μὴ εἰς ἄδηλον ἐκ- λ. μὴ ν. 32.
πέσωμεν διὰ τοῦτό φησι πνεῦμα δαιμονίου ἀκαθάρτου.
3. ἀκάθαρτον γὰρ διὰ τὴν ἀσέβειαν, καὶ τὴν ἀπὸ ἀναχώρησιν
δι' οἰκείαν προαίρεσιν λέγεται. καὶ διὰ τὸ πάσαις ταῖς
αἰσχραῖς καὶ πονηραῖς ἐφήδεσθαι πράξεσιν. ἀνέκραξε δέ φησι
λέγων. ἔα· τί ἡμῖν καὶ σοὶ ἰησοῦ Ναζαρηνέ· ἦλθες ἀπολέσαι
ἡμᾶς. οὐκέτι γὰρ ἡμῖν φησὶ δίδως χώραν περιαιρῶν τὴν
ἀσέβειαν καὶ θεογνωσίαν ταῖς ἀνθρώπων ψυχαῖς ἐνιείς ——

„ "οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ." ςοχάζομαί σου φησὶ ζ
τὴν παρουσίαν. οὐδὲ γὰρ ἀσφαλῆ καὶ βεβαίαν τῆς παρ-
ουσίας εἶχε τὴν γνῶσιν. εἰ καὶ τοῦτο εἰδέναι ἔδοξε, μεθ'
ὑποκρίσεως ἐκφέρων τοὺς λόγους, τὸν ἅγιον δὲ τοῦ θεοῦ
φησὶν οὐχ ἕνα τῶν πολλῶν. ἅγιος γὰρ ἦν καὶ ἕκαςος
τῶν προφητῶν, οὐχ ἕνα οὖν τῶν πάντων σημαίνει, ἀλλὰ
1: καὶ τὸν ἐκ τοῦ ἑνὸς ἕνα καταγγέλλει. διὰ γὰρ τοῦ ἄρθρου τὸν
ἕνα σημαίνει. 1: διὰ [δὲ] τοῦ φόβου ἐπιγινώσκει τὸν πάντων
δεσπότην. ἀλλ' ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς. οὐδὲ γὰρ ἔχρη-
ζ ζεν ἡ ἀλήθεια τῆς ἀπὸ τῶν πονηρῶν πνευμάτων συςάσεως.
οὐδὲ ταῖς ἀντικειμέναις μαρτυρίαις σεμνύνεσθαι. ἅμα δὲ
καὶ σωτήριον ἡμῖν παραδίδωσι δόγμα μὴ παντελῶς δαίμ-
οσι πείθεσθαι, μηδ' ἂν τὴν ἀλήθειαν ἐπαγγέλλονται λέγειν.
„ ὅθεν φησὶν ἐπετίμησεν αὐτῷ λέγων. "Φιμώθητι καὶ
„ ἔξελθε ἐξ αὐτοῦ." ἐπειδὴ δὲ ἐλάλει ὡς νήφων καὶ ἐνόμιζον
οἱ πάντες οὐκ ἀπὸ τοῦ δαίμονος ἀλλ' ἐκ καρδίας τοὺς
λόγους ἐκφέρεσθαι συνεχώρησε ῥῖψαι τὸν ἄνδρα. ἵνα δῆ-
λον γένηται ὅτι δαιμόνιόν ἐςι τὸ λαλῆσαν καὶ οὐκ ἄνθρω-
4. πος. ἐξῆλθε δὲ ἐξ αὐτοῦ μηδὲν βλάψας αὐτόν. οὐδὲ γὰρ
ἐπειδὴ κατέβαλεν ἤδη τραυματίαν ἀπέφηνεν. ἀλλὰ τὸ μελ-
5. λον συνεχώρησεν ὁ κύριος διὰ τοὺς παρόντας, βλάβην δὲ
γενέσθαι οὐκ εἴασεν. ἵνα τοῦ ἐπιτάξαντος φανερωθῇ ἡ
1. 32. „ ἰσχύς. "ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος ἔφερον
„ πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ τοὺς δαιμον-
„ ιζομένους. καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν θύ-
„ ραν." οὐχ ἁπλῶς δὲ πρόκειται 1: δύναντος δὲ ἡλίου. 1: τὸ
ἀλλ' ἐπειδὴ ἐνόμιζον μὴ ἐξεῖναί τινι θεραπεύειν σαββά- 1: τοῦ
τῳ. τούτου χάριν τοῦ σαββάτου τὸ πέρας ἀν-έμενον. ἀρεμεμον
ἄμελει καὶ οἱ τῶν ἰουδαίων ἡγούμενοι ἐπετίμων αὐτῷ θερα-
πεύοντι ἐν σαββάτῳ. οἱ δὲ μαθηταὶ ὡς ὠφεληθέντες ἤδη

ἤδη, μὴ ἀναμείναντες ἑσπέραν παρεκάλουν αὐτὸν ἰάσασθαι
τὴν πενθερὰν Πέτρου. καὶ ὁ μὲν παρὼν εὐαγγελιστὴς πολλ-
ους φησὶν αὐτοὺς αὐτὸν τεθεραπευκέναι κακῶς ἔχοντας.
τὸ πολλοὺς ἢ πάντας λέγων κατὰ τὴν συνήθειαν τῆς γρα-
φῆς, οὕτω πολλάκις κεχρημένης τῇ λέξει, ἢ πολλούς φησι το-
ὺς πιστεύοντας εἰς αὐτόν. καὶ ὧν ἡ πίστις τὴν ἴασιν ἐπεσπάσατο
ὁ δὲ Λουκᾶς τὴν προτέραν ἡμῖν ἔννοιαν δίδωσιν εἰπών. ἑνὶ ἑκ-
άστῳ αὐτῶν τὴν χεῖρα ἐπιθεὶς ἐθεράπευσεν. εἶτά φησιν. τὰς χεῖρας. L.
„ Καὶ δαιμόνια πολλὰ ἐξέβαλε· καὶ οὐκ ἤφιει λαλεῖν τὰ δαιμόνια. ‹‹ ἤφιε. L.
ὅτι ᾔδεισαν αὐτόν." οὐκ ἔστι δὲ ἐναντίον τῷ εἰρημένῳ ὑπὸ
Λουκᾶ, τὸ νῦν λεγόμενον. ἐκεῖνος γάρ φησι ἐξήρχοντο δὲ καὶ
δαιμόνια ἀπὸ πολλῶν κράζοντα καὶ λέγοντα, ὅτι σὺ εἶ ὁ Χρι-
στὸς ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν, οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι
ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. πρὸς γὰρ τὸ τελευταῖον ἀπι-
δὼν ὁ Μάρκος τοῦτό φησι. ἅτε τὰ πολλὰ ἐν ἐπιτομῇ ἐξηγού-
μενος. ᾔδεισαν γὰρ αὐτὸν οἱ δαίμονες τὸν Χριστὸν εἶναι, πεῖ-
ραν τῆς δυνάμεως αὐτοῦ εἰληφότες, ἔκ τε τῶν προηγησαμέ-
νων θαυμάτων καὶ τῆς μετ' ἐξουσίας δυνάμεως. οὐκ εἴα δὲ
„ ταῦτα λαλεῖν, διὰ τὰς προειρημένας αἰτίας:· Καὶ πρωῒ ἔννυ-
„ χον λίαν, ἀναστὰς ἐξῆλθε καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀ-
„ κεῖ προσηύχετο. καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ'
„ αὐτοῦ." τούτοις παραπλησίως καὶ ὁ Λουκᾶς ἐξέθετο. ὅρα δὲ παραπλησίως
πῶς ἀναχωρήσας ὁ Ἰησοῦς εἰς τὴν ἔρημον προσηύχετο. οὐκ

αὐτὸς δεόμενος· αὐτὸς γὰρ ἦν ὁ τῶν λογικῶν δεχόμενος τὰς
λιτάς· ἀλλ' οἰκονομικῶς τοῦτο ποιῶν· καὶ τύπος πάσης ἀρ- ποιῶν
ίστης ἡμῖν γενόμενος πράξεως. εἰ δὲ ὁ μὲν λέγει τοὺς
ἀποστόλους αὐτὸν καταλαβεῖν καὶ λέγειν, ετ ὅτι
„ πάντες ζητοῦσί σε· ὁ δὲ τοὺς ὄχλους· οὐκ ἐναντία
φασὶν ἀλλήλοις· ἐνδέχεται γὰρ μετὰ τοὺς ἀποστόλους,
καὶ τὸν ὄχλον κατὰ πόδας ἀκολουθήσαντα φθάσαι· ὁ
δὲ κύριος ἔχαιρε μὲν κατεχόμενος· συνεβούλευσε δὲ ἀφεῖ-
ναι ἵνα καὶ οἱ ἄλλοι μετάσχωσι τῆς διδασκαλίας ὡς τοῦ
καιροῦ τῆς ἐπιδημίας μὴ πάνυ πολλοῦ γενησομένου· καὶ
αὐτὸς μὲν ἐπάγει· εἰς τοῦτο γὰρ ἐξελήλυθα τῆς θεότητος
αὐτοῦ τὴν αὐθεντίαν ὑποδηλῶν· καὶ τὸ ἑκούσιον τῆς κενώ-
σεως· ὁ δὲ Λουκᾶς· εἰς τοῦτο φησὶν ἀπέσταλμαι τὴν
οἰκονομίαν πως δεικνύς· καὶ τὴν εὐδοκίαν τοῦ πατρὸς ἀ-
ποστολὴν ὀνομάζων· καὶ ὁ μὲν ἁπλῶς ἵνα κηρύξω φησίν
ὁ δὲ τὴν βασιλείαν τοῦ θεοῦ· βασιλείαν θεοῦ ἑαυτὸν ὀνο-
μάζων· καὶ βασιλεία δὲ οὐρανῶν αὐτός ἐστιν ὁ Χριστὸς
ἑκάστου τῶν ἐν τῇ διανοίᾳ αὐτοῦ λαμβανομένων ὄντος
„ οὐρανοῦ· Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρ-
„ ακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν καὶ λέγων αὐτῷ,
„ ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι·" διὰ τοῦτο
ἅπτεται τοῦ λεπροῦ καὶ οὐ λόγῳ ἐπάγει τὴν ἴασιν,
διὰ τὸ εἰπεῖν ἐν τῷ νόμῳ τὸν Μωσῆν, τὸν ἁπτόμενον
λεπροῦ, ἀκάθαρτον εἶναι ὅλην τὴν ἡμέραν· καὶ ἑσπέ-
ρας λουσάμενον καθαρισθῆναι· ἵνα οὖν δείξῃ ὅτι ἀκα-
θαρσία κατὰ φύσιν οὐχ ἅπτεται αὐτοῦ· καὶ ὅτι ὁ νόμ-
ος οὐκ ἦν κατ' αὐτοῦ ἀλλὰ κατὰ ψιλῶν ἀνθρώπων·
καὶ ὅτι κύριός ἐστι τοῦ ἰδίου νόμου, καὶ οὐχ ὡς δοῦ-
λος ἀλλ' ὡς κύριος θεραπεύει, ἐπίτηδες ἅπτεται τοῦ

λεπροῦ

λεπροῦ μὴ χρείαν ἔχων τῆς ἁφῆς· πρὸς τὴν τῆς θεραπείας
ἐνέργειαν· τὸν γὰρ Νεαιμὰν ἐλισαῖος φυλάττων τὴν τοῦ
νόμου ἀκρίβειαν· οὐδὲ ἠνέσχετο θεάσασθαι, ἀλλ' ἔπεμψεν αὐτὸν
εἰς τὸν ἰορδάνην λουσόμενον· ἵνα διδάξῃ ὅτι ψυχῆς ἐπιμελ-
εῖσθαι χρή, καὶ τῶν ἔξωθεν ἀπαλλαγέντα καταργμῶν, ἐκεί- καθαρμῶν l.
νην ἀποσμήχειν· εἶτά φησι "θέλω καθαρίσθητι" καὶ
ἅμα τῶν λόγων φυγαδεύει τὸ πάθος· καὶ ὅπερ ὁ λεπρὸς εἶπε τῷ λόγῳ l.
λόγῳ, τοῦτο αὐτὸ ἔργῳ δέδειχεν· οὐκ ἀναινόμενος τὸ μὴ
δύνασθαι διὰ θελήματος· οὐ γὰρ μόνον οὐ κατέλυσε τὴν ὑπό-
νοιαν, ἀλλὰ καὶ μειζόνως ἐβεβαίωσεν εἰπών, θέλω
καθαρίσθητι· ἵνα κυρώσῃ τὸ δόγμα αὐτοῦ· καὶ ἐμβριμησά- εἶτα
μενος αὐτῷ παρήγγειλε μηδενὶ εἰπεῖν, διδάσκων ἡμᾶς καὶ διὰ l. ἐκείνου
τούτων τὸ ἀφιλότιμον καὶ ἀνεπίδεικτον καὶ μέτριον ἐν τῷ ἔργῳ· ἐν τοῖς ἔργοις
καίτοιγε ᾔδει ὅτι οὐ πεισθήσεται, ἀλλὰ καὶ ἀνακηρύξει τὸν
εὐεργέτην· ἀλλ' ὅμως τὸ ἑαυτοῦ ποιεῖ· πρὸς δὲ τούτῳ μον-
ουχὶ βοᾷ· οὐκ ἔστι καιρὸς κηρυχθῆναί μου τὴν ἐνέργειαν·
"μηδενὶ εἴπῃς· οὐ χρείαν ἔχω τοῦ σὲ κηρύξαι· ἂν
γὰρ μὴ πάθος τὸ ἐμὸν εὖ κηρύξῃ, οὐδὲν συντελεῖ ἡ σὴ
καθαρότης· ἀλλ' ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ" οὐ γὰρ
ἀτιμάζω ὃν δέδωκα νόμον· ἔφη γὰρ διὰ τοῦ νόμου· ἐάν τις
λεπρὸς ᾖ μενέτω ἔξω τῆς παρεμβολῆς ἀκάθαρτος· ἐὰν δὲ αὐ-
τομάτως θεραπευθῇ, ἵνα μὴ ἔξω εἴη ἀποβεβλημένος, δειξά-
τω ἑαυτὸν τῷ ἱερεῖ, ὅτι ἐκαθαρίσθη· εἰ γὰρ μὴ ἔπειεν ὁ

ἱερεὺς ὅτι κεκάθαρται ὁ λεπρός· ἔτι μετὰ τῶν ἀκαθάρτων
ἐπέμενεν ἔμενεν ἔξω τῆς παρεμβολῆς· διὰ τοῦτο τῷ ἱερεῖ πέμπει καὶ
νῦν ὁ σωτὴρ τὸν τότε λεπρόν, εἰς δοκιμασίαν τῆς θεραπεί-
ας· ἵνα μὴ ἐκτὸς γένηται τοῦ ναοῦ· ἀλλ' εἰσέλθῃ εἰς προ-
σευχὴν ἐναριθμηθεὶς τῷ λαῷ· παραγγέλλει οὖν αὐτὸν ἐκτελεῖν
τὰ τοῦ νόμου, τὴν ἀκατάλυτον τῶν Ἰουδαίων ἐμφράττων γλῶ-
σσαν· καὶ τὸ μὲν ἔργον αὐτὸς ἐπλήρωσε· τὴν δὲ δοκιμασίαν
αὐτοῖς ἐπέτρεψε· καὶ κριτὰς αὐτοὺς ἐκάθισε τῶν οἰκείων
θαυμάτων εἰς μαρτυρίαν αὐτοῖς, τουτέστιν εἰς κατηγορίαν
ἔγνω τῆς αὐτῶν ἀγνωμοσύνης· ὅταν ὡς ἀντίθεον καὶ παράνομον
διώκωσιν· εὐγνώμων δὲ ὢν ὁ λεπρός· πανταχοῦ τὸν εὐεργέτη-
ν κηρύσσει, καὶ διαφημίζει τὸν λόγον, τουτέστι τὴν παρά-
δοξον θεραπείαν· ὥστε πάντας κινῆσαι πρὸς τὴν τοῦ θεραπ-
εύσαντος θέαν τε καὶ πίστιν· ὡς διὰ τοῦτο μὴ δύνασθαι
ἐρημίοις τὸν σωτῆρα ἐπιχωριάζειν ταῖς πόλεσιν, ἀλλ' ἐν ἐρημίᾳ διά-
γειν. " καὶ ἤρχοντο πάντες πρὸς αὐτόν." ἐνίκα γὰρ
" τὸν κόπον ἡ προθυμία. " καὶ ἔρχονται πρὸς αὐτὸν παρα-
" λυτικὸν φέροντες αἰρόμενον ὑπὸ τεσσάρων, καὶ μὴ δυνάμε-
" νοι ἐγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέ-
" γην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβατον ἐφ'
" ᾧ ὁ παραλυτικὸς κατέκειτο." τὰ ὅμοια τούτοις καὶ ὁ
Λουκᾶς παρατίθεται· ἀποσιωπήσας τὴν πόλιν ἔνθα τὸ
σημεῖον γέγονεν· ὁ δὲ Ματθαῖος περὶ τῆς ἀνατροπῆς τῆς Δ:
Δ: σιωπήσας τῆς [illegible]

ϛέγης· διὰ τὸν αὐτοῦ ἔρχεται τόπον, ἐν τῇ πόλει αὐτοῦ ῥημάτων. L.
6. φάσκων γεγενῆσθαι τὸ θαῦμα· πόλις δὲ ἐνομίζετο Ναζαρέτ,
7. οὐχ ἡ Καπερναοὺμ· εἰ μή τις εἴποι πόλιν αὐτοῦ Καπερναο-
8. ὺμ, διὰ τὸ πολλάκις ἐκεῖσε ἐπιδημεῖν καὶ πολλὰ ἐν αὐτῇ γεν-
έσθαι σημεῖα· ἢ καὶ διὰ τὴν ἐγγύτητα τοῦ τόπου μὴ ἀκριβ-
ολογεῖσθαι τοὺς εὐαγγελιστὰς σπεύδοντας μόνον τὸ σημεῖον εἰ-
9. πεῖν περὶ ὃ καὶ συμφωνοῦσι, κἂν μὴ ῥήμασι φαίνονται·
ἀπαντῶσιν οὖν ἄγοντές τινες τὸν παραλυτικόν, καὶ εὑρόντες
θύραν πεφραγμένην τῷ πλήθει οὐκ ἠδυνήθησαν δι' αὐτῆς εἰσ-
10. ελθεῖν· σπεύδοντες οὖν οἱ κομίζοντες τυχεῖν τῆς ἰάσεως, α-
ναβαίνουσιν εἰς τὸ δωμάτιον, καὶ ἀνιμησάμενοι σὺν τῷ φορ-
τίῳ τὴν κλίνην, καὶ τὴν στέγην αὐτὴν ἀνατρέψαντες, καθιε-
11. σαν ἐπὶ τῆς κλίνης τὸν παρειμένον· τί οὖν ὁ σωτήρ; ὁρῶν
τὴν πίστιν αὐτῶν, οὐ τοῦ παραλελυμένου, ἀλλὰ τῶν κομισ-
12. άντων· ἔστι γὰρ ὅτε καὶ ἄλλος δι' ἄλλων πίστιν θεραπεύεται,
οὐ μάταιον αὐτῶν ἀποφαίνει τὸν πόνον· φησὶ γάρ· τέκνον, ἢ
ὡς Λουκᾶς ἄνθρωπε· ἀφέωνται σου αἱ ἁμαρτίαι· τὸ
13. δὲ τέκνον, ἢ καὶ αὐτῷ πιστεύσαντι φησίν, ἢ κατὰ τὸν τῆς
δημιουργίας λόγον· τί οὖν οἱ γραμματεῖς, ἀκούσαντες, ἀφ-
έωνται σου αἱ ἁμαρτίαι· διελογίζοντο ἐν ταῖς αὐτῶν
καρδίαις διανοίαις λέγοντες, τίς δύναται ἀφιέναι τὰς ἁμαρτί-
ας, εἰ μὴ εἷς ὁ θεός· μόνος γὰρ ὁ πάντων κριτὴς ἐξουσί-
14. αν ἔχει ἀφιέναι· καὶ μέντοι ὁ σωτὴρ ταῖς διανοίαις ἐμβατεύ-
15. ων ὡς θεός, τοὺς διαλογισμοὺς αὐτῶν ἀποκαλύπτει· ἐκ τοῦ

του πιστούμενος ὅτι ὁ τῶν διανοιῶν θεατής, καὶ ἁμαρτημά-
» των δωρεῖται ἄφεσιν. καὶ φησί· " τί ταῦτα διαλογίζεσθε
» ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἢ ποιῆ-
16. σαι. τὸ μὲν γὰρ ἀφιέναι τὰς ἁμαρτίας δυσκολώτερον
τοῦ εἰπεῖν. οὐ γὰρ φανερὸς ὁ ἔλεγχος. ἄδηλον γὰρ εἰ ἐ-
νήργησε, διὰ τὸ μὴ φαίνεσθαι τὸ γινόμενον. ἐπεὶ τοίνυν
17. ἀπιστεῖτε τῶν λόγων, ἐπιφέρων τὸ ἔργον, πιστούμενος τὸ ἀό-
ρατον. εἰ γὰρ πρῶτον ἐθεράπευσεν ὁ κύριος τὸν παραλυ-
18. τικὸν ἔξωθεν, εἶτα συνεχώρησε τὰ ἁμαρτήματα, ᾠήθη-
σαν ἄν, ὡς τὸ μὲν πρῶτον τεθεράπευται, ἄδηλον δὲ τὸ δεύ-
τερον. ἀλλὰ πρῶτον τὸ ἀμφίβολον καὶ ἀπιστούμενον ἰᾶται,
ἵνα ὅταν ~~ἐλεγχ~~ διελεγχθῶσιν ἀπιστοῦντες καὶ λογιζόμενοι
19. ἐν ἑαυτοῖς ὡς βλασφημοῦντας, τότε προάξῃ τὸ ἔργον καὶ
20. διὰ τοῦ ἔργου λόγῳ πιστώσῃ τὸ κρυπτὸν διὰ τὸ φαινόμενον.
τῆς ψυχῆς τὴν ἴασιν διὰ τῆς ὑγείας τοῦ σώματος.
ἔδειξε δὲ καὶ ὅτι ἡ ψυχὴ νοσεῖ πρὸ τοῦ σώματος. τὸ τοί-
νυν αἴτιον θεραπεύσας τῆς νόσου, εἶτα ἀφαιρεῖ τὸ πά-
» θος. εἰπὼν γὰρ αὐτῷ· " σοὶ λέγω, ἆρον τὸν κράβατ-
21. » όν σου". ὑγιανθεὶς τὰ συναμφότερα ψυχὴν καὶ σῶμα καὶ
ὁλόκληρος γενόμενος, ἄρας τὸν κράβατον ἐξῆλθεν ἐνώπιον
πάντων. οἱ δὲ τὸ μεῖζον ἐάσαντες τὴν τῶν ἁμαρτημάτ-
22. ων ἄφεσιν, τὸ φαινόμενον θαυμάζουσι, τὴν τοῦ σώματος
» ἴασιν. καὶ τὸν θεὸν δοξάζουσιν ἐπὶ τῷ γεγονότι" λέγον-
23. τες ὅτι οὐδέποτε οὕτως εἴδομεν. τί δὲ βούλεται δηλοῦν
τὸ ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας. διὰ τί δὲ καὶ τὸν υἱὸν
τοῦ ἀνθρώπου

24. τοῦ ἀνθρώπου εἶπεν ἐξουσίαν ἔχειν ἐπὶ γῆς ἀφιέναι ἁμαρτ-
ίας, ἀναγκαῖον ἐστιν, ἵνα δείξῃ ὅτι κατήγαγεν εἰς τὴν ἀνθ-
ρωπίνην φύσιν τὴν τῆς θεότητος ἐξουσίαν διὰ τὴν ἀδιαίρετον
25. πρὸς αὐτὴν ἕνωσιν. καὶ γὰρ καὶ ἄνθρωπος γέγονε θεὸς λό-
γος ὑπάρχων, καὶ διὰ τὴν οἰκονομίαν ἐπὶ γῆς πολιτευόμε-
νος, καὶ ἀναστρεφόμενος. ἀλλ' οὐδὲν ἧττον τὰ πέρα λόγου
ἀποτελεῖ θαύματα, καὶ ἄφεσιν δωρεῖται ἁμαρτημάτων, οὐδὲ οὐδὲ
γὰρ ἀφεῖλε τῶν τῆς θεότητος ἰδιωμάτων ἢ ἐμείωσε τὸ γενέ-
σθαι αὐτὸν ἀτρέπτως καὶ ἀληθῶς ἐπὶ γῆς κατὰ σάρκα υἱὸν
ἄνθρωπον. καὶ καὶ παράγων εἶδε Λευῒν τὸν τοῦ Ἀλφαί-
ου καθήμενον ἐπὶ τὸ τελώνιον καὶ λέγει αὐτῷ· ἀκολούθει μ-
οι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Μάρκος μὲν καὶ Λουκᾶς
συγκαλύπτουσι τὸ ὄνομα τῇ ἀρχαίᾳ προσηγορίᾳ. αὐτὸς δὲ
Ματθαῖος εὐαγγελιζόμενος τὰ καθ' ἑαυτὸν ἀπαγγέλλων λέγ-
ει καὶ ἐθεάσατο Ματθαῖον τὸν τελώνην ἐλέγχων ἑαυτοῦ
τὸ τραῦμα. ζητητέον οὖν εἰ ὁ αὐτὸς τελώνης ἐστὶ παρὰ
τοῖς τρισὶ καλούμενος Ματθαῖος, Λευῒς, Ἰάκωβος, καὶ εἰ υἱ-
ὸς ἦν Ἀλφαίου. Διωνυμίας δὲ κατὰ τὴν γραφὴν καὶ ἐπ' ἄλλων
ἐστὶν εὑρεῖν, ὡς ἐπὶ τοῦ πενθεροῦ Μωσέως ποτὲ μὲν ὀνομα-
26. ζομένου Ἰοθὸρ ποτὲ δὲ Ῥαγουήλ. ὁμοίως δὲ καὶ ἐν τῇ τρί-
τῃ τῶν βασιλειῶν περὶ Ἀβὲρ καὶ Ἱεροβοάμ. οὐ γὰρ εἰσὶ δύο,
ἀλλ' εἷς ἀμφοτέροις ὀνόμασι καλούμενος. ἐκ τοῦ οὖν δι-
27. αφωνίαν ἔχειν τὸ κατὰ Μάρκον εὐαγγέλιον τῶν καταλόγων
28. τῶν ιβ' ἀποστόλων. καὶ ἐν τισὶ μὲν παράγων εἶδος Ἰακω

βον τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, ἐν τίσι δὲ
Ματθαῖον τὸν τελώνην, ἐρεῖ τις ὅτι δύο ἦσαν ἐκ τῶν δώ-
ὁ τοῦ Ἀλφαίου δεκα, τελῶναι· Ματθαῖος καὶ ἰάκωβος Ἀλφαίου· ὅπερ οὐκ
„ ἔστι· εἷς γὰρ καὶ ὁ αὐτός ἐστι· „ Καὶ οἱ Φαρισαῖοι ἰδόντ
„ ες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλ 3
„ εγον τοῖς μαθηταῖς αὐτοῦ, τί ὅ, τι μετὰ τῶν τελωνῶν
„ καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει· ζηλοτύπως ἔχοντες
τῷ Χριστῷ οἱ μαθηταὶ ἰωάννου καὶ οἱ τῶν Φαρισαί
29 ων ἐρωτῶσιν αὐτούς, εἰ μόνος μετὰ τῶν μαθητῶν ἄνευ λ. αὐτοί
ἀσκήσεως πόνων κατορθοῖ τὴν κατὰ τῶν παθῶν νίκην·
ὅπερ ἰωάννης οὐκ ἴσχυσε ποιῆσαι. τί οὖν ὁ Χριστός, τὰ τε
„ ρ' τοῦ νυμφῶνος αὐτῷ εἰσκομίζει· λέγων· „ Οὐ δύνασθαι το-
„ ὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι 3
„ ποιῆσαι νηστεύειν. „ τουτέστι νυμφὼν ἐστὶν ὁ τῆς κλήσεως και-
ρὸς ἀνατρέφονται οἱ παῖδες· γαλουχοῦνται οἱ κεκλημένοι·
καὶ οὔπω οὐκ ἔχει καιρὸν ἡ νηστεία· εἶπε νυμφίον ἵνα τὴν ἑτα
ντρον ἐκβάλλει ἐκβάλῃ· καινὴ γὰρ γίνεται ἡ νύμφευσις ἀρρα
βῶνος δοθείσης, τουτέστι πνεύματος ἁγίου χάρις δι' ἧς ἐπιστεύ
σαι ἡ οἰκουμένη· οὐ δύνανται δὲ ἐφ' ὅσον μεθ' ἑαυτῶν ἐστι με-
ἐστιν τ' αὐτῶν ὁ νυμφίος νηστεύειν οἱ υἱοὶ τοῦ νυμφῶνος, τουτέ-
στιν οἱ μαθηταί· νυμφίον γὰρ φησὶν ἑαυτὸν· καὶ μέλλοντα
νυμφεύσασθαι τὴν ἐκκλησίαν· τὴν οὖν μεθ' ἑαυτοῦ διατριβ
ὴν. πάσης ὀδύνης ἀπαλλακτικὴν εἶναι λέγει· ὀδυνᾶται μὲν
γάρ. ὁ μὴ παρὸν ἔχων ἀγαθὸν· καὶ διὰ τὴν στέρησιν αὐτοῦ πε
περιεθῇ νθεῖ, ποθῶν τὴν ἀπόλαυσιν· ὁ δὲ παρόντος ἀπολαύων εἰκ-
ότως εὐφραίνεται καὶ οὐκ ὀδυνᾶται· ὅτι οὖν ἀρθῇ ἀπ' αὐ
ἀπαρθῇ τῶν, ποθοῦντες τὴν παρουσίαν αὐτοῦ νηστεύσουσιν, ἵνα συν-
ὁ νυμφίος φησί, τουτέστιν, ἀναληφθῇ, ὅταν οὖν ἀπαρθῇ ἀπ' αὐτ
ποθοῦντες:

συνῶσιν

ὦσιν αὐτῷ κατὰ πνεῦμα, καθαιρόμενοι ἀπὸ σωματικῶν ἡδονῶν.
καὶ τοῦτο μὲν εἰκότως ἐστίν, ὥστε καὶ τὴν μεγαλαυχίαν αὐτῶν
καθελεῖν καὶ δεῖξαι ὅτι μὴ πρὸς τρυφὴν καὶ ἄνεσιν τοὺς οἰκεί-
ους χειραγωγεῖ μαθητάς. καιρὸς δὲ ἔσται μεθ' ὃν ἐπιδείξονται
30. τὴν ἀνδρείαν ἑαυτῶν καὶ ἐν τῷ δεινῷ καρτερίαν. δείκνυσι
δὲ τὸ λοιπὸν καὶ τὸ διάφορον τῶν μαθητῶν πρὸς αὐτούς, ὅτι
γε μηδεμιᾷ ἀνάγκῃ ὁμοίως αὐτοῖς καὶ οὗτοι νηστεύουσιν.
ἄλλως τε νυμφίος τῆς ἀνθρωπίνης φύσεως ὁ ταύτης ἡγεμὼν
λόγος ὁ τὸ σπέρμα διδοὺς τῆς ζωῆς. υἱοὶ δὲ τοῦ νυμφῶνος ἐ-
πειδὴ νήπιοί εἰσιν οὐ δύνανται διὰ παντὸς συνεῖναι τῷ ἑαυτῶν
πατρὶ τῷ νυμφίῳ. διὸ ὡς νήπιοι τρέφονται ὑπὸ ἐπιτρόπων καὶ
31. οἰκονόμων. σπανίως δὲ τῷ νυμφίῳ συγγινόμενοι. ἐπειδὰν δὲ
ἁδρυνθῶσι καὶ συνεισέλθωσι τῷ νυμφίῳ εἰς τὸν νυμφῶνα
μετὰ τῶν λαμπάδων, διὰ παντὸς ἐσθίουσι τὸ δεῖπνον τὸ
βασιλικόν. περὶ οὗ εἴρηται. ἄνθρωπός τις ἐποίησε δεῖπνον
μέγα. καὶ πάλιν ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ,
ὃς ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. "οὐδεὶς ἐπίβλημα ῥακ-
ους ἀγνάφου ἐπιρράπτει ἐπὶ ἱματίῳ παλαιῷ, εἰ δὲ μή, αἴρει τὸ
πλήρωμα αὐτοῦ, τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γί-
νεται." ὥσπερ φησὶν εἰ ῥάκος ἄγναφον ἐπιβληθείη ἱμα-
32. τίῳ παλαιῷ, τῇ οἰκείᾳ στερρότητι κἀκεῖνο διαρρήγνυσιν. οὕτω
καὶ ἐπὶ τούτῳ, ἐπειδὴ τῆς νέας διαθήκης κήρυκες τυγχάνου-
σιν, οὐ δυνατὸν αὐτοὺς παλαιοῖς δουλεύειν νομίμοις. ὑμεῖς μὲν
γὰρ τοῖς παλαιοῖς ἀκολουθοῦντες ἔθεσι, τὰς Μωσέως νηστείας

φυλάττετε· οὗτοι δὲ τὰ καινὰ καὶ παράδοξα νόμιμα παραδι-
δόναι μέλλοντες τοῖς ἀνθρώποις· ταῦτα μὲν οὐδαμῶς, ἀν-
αγκάζονται φυλάττειν· κατὰ καιρὸν δὲ μετὰ τῆς λοιπῆς ἀρ-
ετῆς καὶ τὴν νηστείαν ἐπιδείξονται· οὐκ ἀνάγκῃ καὶ νομίμοις 1. τιμί
τισὶ καὶ ἔθεσι παλαιοῖς ὥσπερ ὑμεῖς φυλάττοντες, ἀλλὰ γνώμῃ
δι᾽ ἀρετήν, ὅπως ἂν βούλωνται νηστεύειν μέλλοντες· καὶ γὰρ ἡ
ἐν τῷ νόμῳ νηστεία, τούτῳ διενήνοχε τῶν ἐν τῇ χάριτι
νηστευόντων· ὅτι οἱ μὲν ὡρισμένας ἔχοντες νηστείας ἃς καὶ
νηστεύειν πάντως αὐτοὺς ἐχρῆν καὶ μὴ βουλομένους· οἱ δὲ γνώ-
μῃ μᾶλλον κατὰ τὸ δοκοῦν ἑαυτοῖς νηστεύουσιν, ἀρετῆς αἱρ-
τεσσαρακοστῆς ἔσει μετιόντες αὐτήν· εἰ δὲ καὶ ὡρίσθαι ὁ τῆς μ΄ δοκεῖ και-
ρός, δι᾽ ὑπόμνησιν τῶν ῥαθύμων· ἀλλὰ καὶ ταύτην γνώμῃ μᾶ-
„ λλον τὴν νηστείαν μετίμεν· καὶ καὶ ἐγένετο παραπορεύεσθαι
„ αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων καὶ ἤρξαντο μα-
„ θηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας." ἐλευ-
θεριάζουσι πρὸς τὸν τύπον ἀληθείᾳ συνόντες οἱ μαθηταί,
1. τῇ καὶ τὴν τοῦ σαββάτου τυπικὴν ἀργίαν ἐξευτελίζουσιν, ἐπιφα-
διηνεκοῦς νείσης τῆς διηνεκοῦς ἀργίας τῶν κακῶν διὰ Χριστοῦ· ἰδοὺ γὰρ
ἐν σαββάτῳ τίλλουσι στάχυας καὶ ἐσθίουσιν· οὕτως γὰρ ἦσαν
κοῦφοι, ὡς μηδὲ τραπέζης φροντίζειν· πεινῶντες γὰρ ἤσθιον ἁπ-
λῆν τροφήν, οὐκ ἡδονικήν, διὰ τὴν τῆς φύσεως ἀνάγκην· τί
οὖν οἱ Φαρισαῖοι; οἱ τῷ τύπῳ καὶ τῇ σκιᾷ δουλεύοντες· κατ-
ηγοροῦσι τῶν μαθητῶν, ὡς ἀδίκημα τι μέγα πεποιηκότων· ὁ δὲ
κύριος λύων αὐτῶν τὴν κατηγορίαν, τὸν Δαβὶδ εἰς μέσον ἄγει.
δόξαντος καὶ αὐτοῦ μὴ κατὰ νόμον πεπρᾶχθαι, ὅτι τῶν ἱερατικ-

ὧν ἥψατο

ἥψατο τροφῶν, καὶ τοῖς μετ᾽ ἑαυτοῦ ἔδωκεν· ἵνα ἡ πρὸς ἐκεῖνον
αἰδὼς ἐπίσχῃ τὴν κατὰ τῶν ἀποστόλων συκοφαντίαν. ἐπειδὴ δὲ Ἀβια-
θὰρ μέμνηται τηνικαῦτα ὑπάρχοντος ἀρχιερέως ὅτε τοῦτο Δαβὶδ
ἐποίησεν· ἡ δὲ τῶν βασιλειῶν βίβλος Ἀβιμέλεχ, ἤτοι τις ἂν δι-
ώνυμον γεγενῆσθαι τὸν Ἀβιμέλεχ, ὥστε εἶναι τὸν αὐτὸν τῷ Ἀβ-
ιαθάρ· ἢ τοῦ μὲν Ἀβιμέλεχ τὴν ἱστορίαν μεμνῆσθαι καὶ ἱερέως·
τὸν δὲ σωτῆρα Ἀβιαθὰρ ἀρχιερέα τυγχάνειν κατ᾽ ἐκεῖνον καιροῦ
φῆσαι. καὶ φαίνεται ἡ τῶν βασιλειῶν γραφὴ τὸν μὲν Ἀβιμέλεχ καὶ
τοὺς ἱερέας τοῦ θεοῦ ἀναιρεῖσθαι φήσασα ἐπὶ τοῦ Σαούλ· ἀρχιερ-
έα δὲ οὐκ ἀναιρεῖσθαι ἱστορήσασα. κύριον δὲ τοῦ σαββάτου καὶ υἱ-
ὸν τοῦ ἀνθρώπου ἑαυτὸν καλεῖ. ἐπειδὴ υἱὸς ὢν τοῦ θεοῦ κατηξίωσ-
εν υἱὸς ἀνθρώπου διὰ τοὺς ἀνθρώπους γενέσθαι. Νομοθέτου δὲ καὶ
κυρίου ὄντος αὐτοῦ, νόμος οὐ κυριεύει. οὐδ᾽ ἔστι ^Λ καθάπαξ ὃ μὴ Λ.Τ
ἔξεστι βασιλεῦσι βασιλεῖ τῶν δεόντων καὶ ὑπὲρ νόμον. τοῖς γὰρ ὑπὸ
χεῖρα καὶ ἀσθενέσι δίδοται νόμος· οὐ τοῖς τελείοις καὶ τὰ ὑπὲρ
νόμον πράττουσι.

Cap. III. "Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· "
καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα· καὶ παρετήρουν "
αὐτόν, εἰ τοῖς σάββασι θεραπεύει αὐτόν ἵνα κατηγορήσωσιν αὐ- "
τοῦ. ὁ Λουκᾶς προστίθησιν ὅτι διδάξαι ἦλθεν εἰς τὴν συναγωγήν.
καὶ ὅτι τὴν δεξιὰν χεῖρα εἶχεν ὁ ἰαθεὶς ξηράν. ὁ δὲ Ματθαῖος
φησὶ καὶ ὅτι εἶπεν αὐτῷ ὁ Ἰησοῦς· τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος
ὃς ἕξει πρόβατον ἓν καὶ ἐὰν ἐμπέσῃ εἰς βόθυνον, οὐχὶ κρατήσει
H. αὐτὸ καὶ ἐγερεῖ; πόσον οὖν διαφέρει ἄνθρωπος προβάτου. ἐπάλ-
ληλα οὖν συμβάλλει τὰ εἰς ^Λ λύσιν τοῦ σωματικοῦ σαββάτου συντ-

Λ. τὴν

εἰποντα· οὐδὲ γὰρ ἐπὶ τῶν ἀποδείξεων ἔστη μόνον ὁ κύριος, καὶ
ταῖς ἀπὸ τῶν θείων γραφῶν ἀπάσαις χρησάμενος, ἀλλὰ καὶ
θαύμασι τὴν ὑπόνοιαν ἀποδύεται· ἠρώτησε γὰρ τοὺς φαρισαί-
λ τῶ ους περιβλεψάμενος, ὥστε καὶ ὄμματι αὐτοὺς ἐπιστάσασθαι, εἴπ-
ερ ἔξεστιν ἐν σάββασι θεραπεύειν ψυχὴν σῶσαι ἢ ἀπολέσαι.
„ οἱ δὲ ἐσιώπων. „ ᾔδεσαν γὰρ ὅτι πάντως αὐτὸν ἰάσε-
ται. ἔστησεν οὖν αὐτὸν μέσον, ἵνα τῇ ὄψει αὐτοὺς ἐπικάμ-
ψῃ, ἵνα καταλλαγέντες τῇ θέᾳ τὴν πονηρίαν ἐκβάλωσι, καὶ
τὸν ἄνθρωπον αἰδεσθέντες παύσωνται τῆς μανίας. καὶ οὗτος
μὲν φησὶν ὅτι ἠρώτησε· ὁμοίως δὲ καὶ ὁ Λουκᾶς. Ματθαῖος δὲ ὅ-
τι ἠρωτήθη. εἰκὸς δὲ ἀμφότερα γεγενῆσθαι. ἐπισυνάπτει τοί-
„ υν τῷ λόγῳ τὸ θαῦμα. εἰπὼν τῷ ἀνθρώπῳ. „ ἔκτεινον τὴν
„ χεῖρα καὶ παραχρῆμα ἐξέτεινεν. „ ὑγιὴς ἀπὸ μόνης γενόμενος
τῆς φωνῆς. διὰ πάντων οὖν τούτων ἀπολογησάμενος ὑπὲρ τῶν μα-
θητῶν, ὁμοῦ τε καὶ τὴν καθ᾽ ἑαυτὸν ἀξίαν ἀνωτέραν πολὺ τοῦ
νόμου δέδειχε. τὸ δὲ περιβλέψασθαι αὐτοὺς μετ᾽ ὀργῆς τὸν
Ἰησοῦν καὶ λυπεῖσθαι ἐπὶ τῇ πωρώσει αὐτῶν, ἁρμόσει τῇ οἰ-
„ κονομίᾳ, ἣν δι᾽ ἡμᾶς ἑκουσίως κατεδέξατο. „ Καὶ ἀναβαίνει εἰς
„ τὸ ὄρος, καὶ προσκαλεῖ οὓς ἤθελεν αὐτὸς καὶ ἀπῆλθον πρὸς αὐ-
„ τόν, καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ᾽ αὐτοῦ, καὶ ἵνα ἀποστέ-
„ λλῃ αὐτοὺς κηρύσσειν, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νό-
„ σους καὶ ἐκβάλλειν τὰ δαιμόνια. „ ἀναβαίνει εἰς τὸ ὄρος
ὥς φησιν ὁ Λουκᾶς προσεύξασθαι. πανταχοῦ γὰρ ὡς ἐπίπαν
τοῖς θαύμασι τὴν εὐχὴν ἐπιτίθησιν, οὐχ ὡς ἀρτίως ἀλλ᾽
Ι ἵνα ἡμεῖς μάθωμεν διακαρτερεῖν ἐν προσευχῇ ὅπως μὴ κατ-

αια γένηται αὐτῶν ἡ προβολή· ἴσως δὲ καὶ ἕτερόν τι οἰκονομῶν,
καὶ τοὺς ἡγουμένους διδάσκων τῆς ἐκκλησίας, πρὸ τῶν γινομένων
ὑπ' αὐτῶν χειροτονιῶν διανυκτερεύειν ἐν προσευχῇ, ὅπως μὴ ματ-
αία γένηται αὐτῶν ἡ προβολή. γενόμενος οὖν κατὰ τὸν Λουκ-
ᾶν ἡμέρας, προσκαλεῖται οὓς ἤθελησε, καὶ ἐκλεξάμενος ἐξ
αὐτῶν δώδεκα· ἦσαν γὰρ πλείους οἱ παρόντες. ἀποστόλους ὠν-
όμασεν, εἰς παρασκευὴν τοῦ πράγματος, καὶ εἰς τὸ μέλλον αὐ-
τῶν πληροφορῆσαι ἔργον δοὺς αὐτοῖς δύναμιν. τοῦτο γὰρ ἡ ἐξ-
ουσία θεραπεύειν τε νόσους καὶ δαιμόνια ἀπελαύνειν· εἶτα λέ-
γει καὶ τὰ ὀνόματα, ἵνα μὴ ὁ τυχὼν εἴπῃ ἀπόστολον γεγονέναι
καὶ φησὶν ὡς "ἐπέθηκε τῷ Σίμωνι Πέτρον" ἵνα προλάβῃ «
ἔργοις προφητικῶς. Πέτρον γὰρ αὐτὸν κέκληκεν, ἐπειδὴ ἐν πέτ-
ρᾳ ἤμελλεν οἰκοδομεῖν. τοὺς δὲ υἱοὺς Ζεβεδαίου Ἰάκωβον καὶ Ἰω-
άννην ὀνομάζει Βοανεργές, ὅ ἐστιν υἱοὶ βροντῆς, διὰ τὸ μέγα καὶ
διαπρύσιον ἠχῆσαι τῇ οἰκουμένῃ τῆς θεολογίας τὰ δόγματα.
ὁμοίως καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα ἵνα μάθῃς τοὺς δώδεκα.
Καὶ ἔρχονται εἰς οἶκον καὶ συνέρχεται πάλιν ὁ ὄχλος, ὥστε μὴ «
δύνασθαι αὐτοὺς ἄρτον φαγεῖν. καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, «
ἐξῆλθον κρατῆσαι αὐτόν, ἔλεγον γὰρ ὅτι ἐξέστη. εὐγνωμο «
νεστέρα τῶν ἀρχόντων τὰ πλήθη· τοὺς μὲν γὰρ ἐμποδίζει περὶ τὴν
διάκρισιν ἡ φιλοδοξία· τοῖς δὲ ἀνεπισκότιστος ἡ διάνοια, κατὰ
τοῦτο. ὁ μὲν γὰρ ὄχλος εὐγνωμόνως συνέρχεται πρὸς τὸν Ἰη-
σοῦν, ὥστε μηδὲ δύνασθαι αὐτοὺς ἄρτον φαγεῖν. οἱ δὲ ἀκούσα-
ντες ἐξῆλθον κρατῆσαι αὐτόν, ἔλεγον γὰρ ὅτι ἐξέστη.

τινὲς δὲ ἀκούσαντες, ἢ πόθεν ἐξῆλθον, οὐ σαφῶς διηγήσατο ὁ
εὐαγγελιστής· νομίζω οὖν περὶ τῶν Φαρισαίων καὶ γραμματέων
λέγειν αὐτόν, ὡς ἀκούσαντες περὶ αὐτοῦ ἐκ τοῦ περιστάντος
αὐτὸν ὄχλου, ὑπὸ βασκανίας εἰς ὀργὴν τραπέντες, ἔδραμον αὐ-
τὸν ἐπιλαβεῖν· ἐκεῖνο ὑπολαμβάνοντες αὐτὸν παθεῖν ὅπερ αὐτοὶ
πεπόνθεισαν. μανία γὰρ σαφὴς καὶ φρενῶν ἔκστασις τὸν τῶν το-
σούτων θαυμάτων ποιητὴν καὶ διδάσκαλον θεϊκῆς σοφίας ὑπο-
λαμβάνειν ἐξίστασθαι. ἐπειδὴ δὲ ἀντιλέγειν οὐκ εἶχον τοῖς γι-
νομένοις, ἑτέρως αὐτὰ πάλιν διαβάλλειν ἐπειράθησαν, ἐν τῷ
Βεελζεβοὺλ φήσαντες ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια. τί οὖν
ὁ σωτήρ; σφοδρῶν ἀπὸ τῶν παραδειγμάτων ἰσχυρὰν ἐποιήσ-
ατο τὴν ἀπόδειξιν, τοῦ μηδὲ δυνατὸν γίνεσθαι ὅπερ ἐκεῖνοι φα-
σίν. ἀνάγκη γὰρ τὴν μερισθεῖσαν βασιλείαν ὑπὸ τῶν ἐμφυλ-
ίων πολέμων, πάντως πλεῖστον ὅσον ἑαυτῆς ἐλάττονα γίνεσθαι.
τὸ δ' αὐτὸ καὶ ἐπὶ οἰκίας καὶ πόλεως ἔστιν ἰδεῖν. οὐκοῦν καὶ ἡ
τοῦ Σατανᾶ βασιλεία εἴπερ ἐφ' ἑαυτὴν μεμέρισται καὶ ὁ Σατ-
ανᾶς τὸν Σατανᾶν ἀπελαύνει τῶν ἀνθρώπων, ἤγγικεν ἡ κατάλ-
υσις τῶν δαιμόνων. τὸ μὲν γὰρ κράτος αὐτῶν ~~αὐτῶν~~ ἐν τῷ
τῶν ἀνθρώπων κρατεῖν. εἰ δὲ τούτου αὐτοὶ ἑαυτοὺς ἀφαιρ-
οῦνται, οὐδὲν ἕτερον ἔστιν εἰπεῖν, ἢ τὴν βασιλείαν αὐτοῦ λελ-
ύσθαι. εἰ δὲ κρατεῖ τῶν ἐν ἀνθρώποις ἔτι, δῆλον ὡς οὐ διῃ-
ρέθη καθ' ἑαυτῆς, ἀλλὰ συνέστηκεν ἡ βασιλεία τοῦ Σατανᾶ.
ἐπειδὴ δὲ σκεύη τῶν δαιμόνων γεγόνασιν οἱ ἄνθρωποι διὰ τῆς
κακίας ὑπὸ τὴν ἐκείνων καταστάντες ἐξουσίαν
ἀδύνατον δὲ ἦν ἀφαιρεθῆναι τοὺς δαίμονας τὴν οἰκείαν κτῆσιν, ἀλ-
.M. λ' εἰ μὴ πρότερον ἡττηθέντων αὐτῶν. καὶ δεσμῷ περιβληθέντων
εἰς τὸ μὴ

~~[illegible]~~

εἰς τὸ μὴ δύνασθαι αὖθις ὑπὲρ τῶν ἰδίων διαμάχεσθαι κτημάτων·
τοῦτο δὲ ὑπὸ τῶν δαιμόνων οὐκ ἄν ποτε ἐγένετο· ἐπεὶ μηδὲ οἴ-
οντε ἦν ἐκείνους ἑαυτοὺς ἀφελέσθαι τῆς ἐξουσίας αὐτῶν τοὺς
ἀνθρώπους. "Ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται τὰ "
ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι "
ὅσας ἂν βλασφημήσωσι· ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα, "
οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα." τὴν εἰς θεὸν βλασφημίαν "
ἀσυγγνωστον εἶναί φησι τῷ τοῦ πνεύματος ὀνόματι· ὥσπερ γὰρ
ἡ τοῦ πνεύματος ἐνέργεια βασιλεία θεοῦ, οὕτως ἡ βλασφημία
κατὰ τούτου κατὰ θεοῦ γίνεται· ἀσυγχώρητον δὲ εἶναι λοιδορ-
ίαν συγγνώμην οὐκ ἔχουσαν· τὴν γὰρ εἰς αὐτὸν ἔχειν φησὶ συ-
γγνώμην· πρὸς σύγκρισιν ἐκείνης καθὸ ἐνομίζετο καὶ ἑωρᾶτο ἄν-
θρωπος ὢν καὶ δι' εὐτελείας ἐλθὼν καὶ γένους εὐκαταφρονήτου·
τὸ δὲ μήτε ἐπὶ τοῦ παρόντος αἰῶνος μήτ' ἐπὶ τοῦ μέλλοντος
ἀφίεσθαι τὴν κατὰ νόμον ἑρμηνεύει κρίσιν καὶ τὴν μέλλουσαν.
οὔτε γὰρ νόμος τὸ θανατοῦσθαι κελεύει καὶ ὁ κύριος ἐπιψηφ-
ίζεται τῷ νόμῳ, συγγνώμην ἐπὶ τῶν τοιούτων διδούς· παρεσιώ-
πησε μὲν εἰ ἐν τοιούτοις ἡ διὰ βαπτίσματος ἄφεσις εἴη· ἐπεὶ
μηδὲ καιρὸς ἦν περὶ ταύτης ἰουδαίοις διαλέγεσθαι· μεταξὺ γὰρ
πως εὑρίσκεται αὕτη τῆς τε ἐν τῷ αἰῶνι τούτῳ, καὶ τῆς μελ-
λούσης κατακρίσεως ὅτι πῶς ὁ βαπτιζόμενος ἔξεισι ἀπὸ τοῦ
αἰῶνος τούτου, καὶ μεταξύ πως τῆς παρούσης καὶ τῆς μελλού-
σης ζωῆς ἐξετάζεται· καὶ οὕτω παραίτησιν τῆς ἐκ νόμου
κατακρίσεως ἔχει εἰς οὐκοῦν τὰ θαύματα καὶ τὴν τῶν δαιμόνων

καταλυσιν ἃ μόνα τοῦ πνεύματος ἐστι ποιεῖν ταῦτα τῷ
δαίμονι περιτιθέναι οὐδεμίαν ὑμῖν ἀπολογίαν ἢ συγγνώμην
τῆς βλασφημίας καταλείπει, ταῦτα δέ φησιν, οὔτε τὴν εἰς
αὐτὸν βλασφημίαν ~~απ~~ἀφίεσθαι ἀποφαινόμενος, οὔτε τοῖς βλ-
ασφημοῦσι κατὰ τοῦ πνεύματος χώραν μετανοίας εἰ βουλο-
ιντο ἀφεὶς οὐδεμίαν καὶ εἰς ἄνθρωπον γίνεσθαι μόνον δοκοῦ-
σαν ἔλαττον φάσκων εἶναι ὅταν τῇ βλασφημίᾳ τοῦ ἁγίου
,, συγκρίνηται πνεύματος. ,, Ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ
,, ἡ μήτηρ αὐτοῦ καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν φων-
,, οῦντες αὐτόν. ,, ἐκ τούτου δῆλον, ὅτι οὐ πάντοτε συνῆσ-
αν αὐτῷ ἡ μήτηρ καὶ οἱ ἀδελφοί ἐπειδὴ δὲ ποθητὸς ἦν διὰ
τὴν ἀπόλειψιν ἔρχονται πρὸς αὐτὸν ἐπισκεψόμενοι δῆθεν.
τί οὖν ὁ κύριος δεικνύσιν ὅτι πάσης προτιμᾷ συγγενείας
τοὺς κατὰ πίστιν οἰκείους. ταῦτα δὲ ἔφη οὐκ ἀποδοκιμάζων
πάντως τὴν μητέρα καὶ τοὺς ἀδελφούς. ἀλλὰ δεικνὺς ὅτι
πάσης συγγενείας σωματικῆς προτιμᾷ τὴν τῆς ψυχῆς οἰ-
κειότητα διὰ τούτου κἀκείνους στέργων, εἰ ταῦτα ἐπάγοιν
το. πρὸς γὰρ τὸν ὁμοιούμενον οἰόμενον ὡς ἐπί τι σπουδαιό-
τερον καλεῖν αὐτὸν τῶν οἰκείων ὁμιλιῶν. ἀναγκαῖον ἦν το-
ῦτο εἰπεῖν ὁμοῦ καὶ εἰς διδασκαλίαν τῶν παρόντων. ἄλλος
δέ φησιν ὅτι μήπω τότε πεπιστεύκεισαν εἰς αὐτὸν οἱ ἀδελφοὶ
αὐτοῦ καὶ μανθάνων μὲν περὶ ἰωάννου παρὰ δὲ Μαρκ-
ου ὅτι ὡς ἐξεστηκότα κατέχειν ἐπεχείρουν. ἐπὶ τοιαύτῃ
διανοίᾳ, καὶ ὁ κύριος αὐτῶν οὐχ ὡς οἰκείων ἐμνήσθη. ἐκ
τούτου δὲ μανθάνομεν ὅτι τοῦ χριστοῦ κατὰ πνεῦμα συγ-
,, γενεῖς οἱ πιστοὶ καθεστάμεθα. ,, Καὶ πάλιν ἤρξατο δι-
,, δάσκειν παρὰ τὴν θάλασσαν. καὶ συνήχθη πρὸς αὐτὸν ὄχλ-
,, ος πολύς. ὥστε αὐτὸν ἐμβάντα εἰς πλοῖον καθῆσθαι ἐν τῇ

θαλάσσῃ." οὐχ ἁπλῶς καθῆσθαι αὐτὸν φησὶν εὐαγγελισ-
ὴς εἰς πλοῖον ἐν τῇ θαλάσσῃ, ἀλλ' ἵνα μηδένα κατὰ νώτου,
ἀλλὰ πάντας ἀντιπροσώπους ἔχῃ τοὺς ἀκούοντας· καθίσας δὲ
ἐκεῖ διὰ τῆς παραβολῆς φθέγγεται· οὐχ ὡς ἂν μὴ καθάπερ
οἱ λοιποὶ τῶν διδασκάλων δοκῇ καὶ αὐτὸς ἀγνοίᾳ τῶν ἐξῆς
ζομένων κηρύττειν τὸ εὐαγγέλιον· προλέγει γὰρ καὶ τοῦ κηρ-
ύγματος τὴν ἐπίδοσιν καὶ τῶν ἀπειθούντων τὴν φαυλότητα·
ἀλλὰ μὴν καὶ τῶν ἐνίων σπουδὴν ὡς διὰ πάντων δῆλον γενέσθ-
αι τοῖς ἀκούουσιν, ὅτι σφόδρα εἰδὼς διά τινα τὰ περὶ τὸ
κήρυγμά ἐστι, κέχρηται τῇ διδασκαλίᾳ, τῶν σπουδαίων ἕνε-
κα πάντα διαπραττόμενος· ἀλλ' ἤτοι διὰ τὸ εἶναι γραμμ-
ατεῖς καὶ φαρισαίους ἀναμεμιγμένους τῷ πλήθει διανίστη-
σι τὴν διάνοιαν τῶν ἀκουόντων διὰ τῆς παραβολῆς· πρ-
ὸς τούτοις καὶ ἵνα ἐμφαντικώτερον τὸν λόγον ποιήσῃ καὶ
πλείονα τὴν μνήμην ἐνθῇ, καὶ ὑπ' ὄψιν ἀγάγῃ τὰ πραγμ-
ατα." Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Ἀκούσατε, «
ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ ἐγένετο ἐν τῷ «
σπείρειν, ὁ μὲν ἔπεσε παρὰ τὴν ὁδόν· καὶ ἦλθε τὰ πετει- «
νὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό." ἀνοίγει οὖν ἐν «
παραβολαῖς στόμα κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν καὶ φησίν·
ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· οὐ τόπῳ ἐξῆλθεν ὁ παν-
ταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ἀλλὰ σχέσει καὶ οἰκο-
νομίᾳ τῇ πρὸς ἡμᾶς ἐγγύτερος ἡμῖν γενόμενος· διὰ τῆς
κατὰ τὴν σάρκα περιβολῆς· ἐπειδὴ γὰρ εἰσελθεῖν ἡμεῖς οὐκ ἠ
δυνάμεθα τῶν ἁμαρτημάτων ἡμῖν διατειχιζόντων τὴν εἴσοδον,

αὐτὸς ἐξέρχεται πρὸς ἡμᾶς· ἐξῆλθεν οὖν σπεῖραι τὸν
τῆς εὐσεβείας λόγον· σπόρον γὰρ ἐνταῦθα τὴν διδασ-
„ καλίαν φησί· ἄρουραν δὲ τὴν ἀνθρώπων τὴν ψυχήν· „ καὶ
„ ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, ὃ δὲ ἐπὶ τὴν πέτραν, ὃ δὲ ἐπὶ
„ τὰς ἀκάνθας, ὃ δὲ ἐπὶ τὴν γῆν τὴν καλήν· τέταρτον
μέρος σωθέν, καὶ οὐδὲ τοῦτο ἐπίσης· ταῦτα δέ φησι
λέγων, ἐμφαίνει δηλονότι μετὰ ἀφθονίας ἅπασι διελέγετο·
καθάπερ γὰρ ὁ σπείρων οὐ διαιρεῖ τὴν ὑποκειμένην, ἀλλ'
ἁπλῶς καὶ ἀδιακρίτως βάλλει τὰ σπέρματα, οὕτω καὶ αὐτὸς
ἅπασι διελέγετο τὰ παρ' ἑαυτοῦ πληρῶν· καίτοι προειδὼς
τὰ ἐσόμενα· καὶ οἱ μὲν προφῆται ὡς περὶ ἀμπέλου διαλέ-
γονται τοῦ δήμου· οὗτος δὲ ὡς περὶ σπόρου· δηλῶν ὅτι ταχ-
εῖα νῦν ἔσται ἡ ὑπακοὴ καὶ εὐκολωτέρα· καὶ εὐθέως τὸν κα-
ρπὸν δώσει· οὐ ταυτολογεῖ δὲ ἐν τῷ εἰπεῖν σπείρων τοῦ σπ-
εῖραι· ἐξέρχεται γὰρ πολλάκις ὁ σπείρων καὶ πρὸς ἕτερον
πρᾶγμα ἢ νεῶσαι ἢ τὰς πονηρὰς ἐκτεμεῖν βοτάνας· καὶ
ἄλλο τι ἐπιμελήσασθαι· αὐτὸς δὲ τοῦ σπεῖραι, οὐ παρὰ τὸν
σπείροντα δὲ ἀπώλετο τὸ πλέον τοῦ σπόρου· ἀλλὰ παρὰ
τὴν ὑποδεχομένην γῆν, τουτέστι παρὰ τὴν ἀκούουσαν ψυχήν·
καὶ ὁ μὲν γεωργὸς ἐγκαλοῖτο ὁπουδήποτε ῥίπτων τὸν σπό-
ρον· ὁ δὲ διδάσκαλος πολὺν ἔχει τὸν ἔπαινον· ὁ μὲν γε-
ωργὸς εἰκότως ἐγκαλοῖτο τοῦτο ποιῶν· οὐ γὰρ ἔνι τὴν πέ-
τραν γενέσθαι γῆν, οὐδὲ τὴν ὁδὸν μὴ εἶναι τὴν ὁδόν,
ἢ τὰς ἀκάνθας μὴ εἶναι ἀκάνθας· ἐπὶ δὲ τῷ λόγῳ οὐχ
οὕτως· δυνατὸν γὰρ μεταβληθῆναι καὶ γενέσθαι γῆν λιπ-
αράν· καὶ τὴν ὁδὸν μηκέτι καταπατεῖσθαι· μηδὲ προκεῖσθ-
αι παριοῦσιν ἅπασιν, ἀλλ' εἶναι ἄρουραν πίονα, καὶ τὰς
ἀκάνθας

ἀκάνθας ἀφανισθῆναι· καὶ πολλῆς ἀπολαύειν ἀδείας τὰ σπέρμ-
ατα· διὰ τὸ αὐτεξούσιον· εἰ γὰρ μὴ ἐξῆν οὐκ ἂν ἔσπειρεν οὕτως·
σκόπει δὲ ὅτι οὐ μία τῆς ἀπωλείας ἡ ὁδός, ἀλλὰ διάφοροι· οἱ
μὲν γὰρ τῇ ὁδῷ ἐοικότες εἰσὶν οἱ ῥάθυμοι καὶ ὀλίγωροι· οἱ δὲ
τῇ πέτρᾳ ἀσθενέστεροι μόνον· οὐκ ἔστι δὲ ἴσον μηδενὸς ἐπηρεά-
ζοντος τὴν διδασκαλίαν μαρανθῆναι καὶ πειρασμῶν ἐπικειμένων· οἱ
δὲ ἐν ταῖς ἀκάνθαις, πολλῷ τούτων ἀσυγγνωστότεροι· ὕστερον δὲ
τίθησι τὴν καλὴν γῆν, οὐκ ἀφεὶς ἀπογνῶναι, ἀλλὰ διδοὺς ἐλπίδα
μετανοίας καὶ ὅτι δυνατὸν ἐκ τῶν εἰρημένων εἰς ταύτην μεταβα-
λεῖν. καίτοιγε εἰ καὶ ἡ γῆ καλὴ καὶ ὁ σπορεὺς εἷς· καὶ τὰ
σπέρματα τὰ αὐτά, ἀλλ' ὁ μὲν ἔφερε ρ̄, ὁ δὲ ξ̄, ὁ δὲ λ̄, παρὰ
γὰρ τὴν φύσιν τῆς γῆς· τουτέστι παρὰ τὴν γνώμην τῶν ἀκουόντ-
ων· πολλὴ δὲ ἡ φιλανθρωπία τοῦ γεωργοῦ, ὅτι καὶ τοὺς πρώτους
ἀποδέχεται, καὶ τοὺς δευτέρους οὐκ ἀποβάλλει· καὶ τοῖς τρίτοις
δίδωσι χώραν· · "Ὅτε δὲ ἐγένετο κύριος μόνος ἠρώτησαν "
αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν· καὶ ἔλεγεν "
αὐτοῖς· ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ· "
ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται." ὃ δὲ
λέγει τοιοῦτόν ἐστιν· ὑμεῖς μὲν ἄξιοι ὄντες ἅπαντα μαθεῖν ἃ
πρὸς διδασκαλίαν συντείνοντα τοῦ κηρύγματος, μαθήσεσθε καὶ
τῶν παραβολῶν σαφήνειαν· πρὸς δὲ τούτοις μετὰ παραβολῶν κέ-
χρημαι τῇ διδασκαλίᾳ, ἐπειδὴ μηδὲ ἄξιοί εἰσι μαθεῖν διὰ τὴν κα-
κίαν τοῦ τρόπου· οὔτε γὰρ ἀγνοῶν Ἰουδαίους ἀπιστήσοντας, ἦλθε
πρὸς αὐτούς, οὔτε πάντως πρὸς πίστιν ἐνάγων αὐτούς, ἀλλὰ τοῖς

μὲν σημείοις δυσωπῶν ἱκανοῖς οὖσι καὶ τοὺς πάνυ σκληροὺς καὶ
ἀσυνέτους ἐπάγεσθαι, ἵνα διὰ τούτων εἶεν ἀναπολόγητοι περὶ τῆς
αὐτῶν ἀπιστίας. τὴν δὲ διαγνώσεως προσαγωγὴν οὐ παρέχων ὅτι
τὴν κατὰ νόμον ἣν ἔλαβον, μὴ παρέχοντας τὴν ὑπακοήν, οὐ δίκα-
ιον εἴρ[illegible] τοῦ λόγου μεταχεῖν τοῦ καινοῦ· ἀλλ' ἑκατέρων ἀφαιρ-
εθῆναι. δείκνυσιν οὖν τὸ παράδειγμα, τὸ ὑπήκοον τῶν μαθητῶν·
ὅτι διὰ τὴν ἀντιλογίαν ἀνάξιοι τῆς σαφοῦς διδασκαλίας οἱ λοιποί·
τὸ δὲ ὅλως λαλεῖν διὰ παραβολῶν, καὶ μὴ παντελῶς ἀποσιωπᾶν, ἐπιδ-
είκνυσιν ὅτι μὴ προσιοῦσι πλησίον τοῦ ἀγαθοῦ, καὶ εἰ φαίνοιτο
ἀγαθὸν δι' ἑαυτοῦ, ἀμυδρῶς μᾶλλον ἢ ἐναργῶς φαίνεται. ὅταν δὲ
τις ἐπάγηται προαίρεσιν εὐσεβῆ καὶ γνώμης ὀρθότητα λήψεται
μετὰ πολλῆς τῆς περιουσίας τῶν ἀποκρύφων τὴν ἀποκάλυψιν. ὅταν
δὲ μηδὲν ὑγιὲς φρονῇ, μηδὲ τῷ προχείρῳ τῶν πολλῶν ἀξιοῦται δέξα-
σθαι τὴν ἀκρόασιν. εἶτα καὶ τῇ ἐπαγωγῇ τῆς προφητικῆς φωνῆς
„ τὴν κακίαν αὐτῶν ἐλέγχει ὡς πόρρωθεν κηρυττομένην, „βλέποντες
γὰρ βλέπουσι καὶ οὐ μὴ ἴδωσι, καὶ ἀκούσονται καὶ οὐ μὴ συνιῶ-
σιν. οὐδὲ γὰρ βούλονται τὴν χάριν αὐτοῦ παραδέξασθαι. τὸ μὲν
γὰρ βλέψαι ὑπῆρξεν αὐτοῖς ἀπὸ τῆς χάριτος τοῦ ἀφθέντος. τὸ
δὲ μὴ ἰδεῖν συμβέβηκεν ἀπὸ τοῦ αὐτοὺς μῦσαι τοὺς ἑαυτῶν ὀφθαλ-
μοὺς καὶ προσποιηθῆναι μὴ βλέπειν. ὁμοίως δὲ καὶ τὸ μὴ ἀκοῦσαι,
ἀπὸ τοῦ μὴ βούλεσθαι συνιέναι τὰ λεγόμενα. καὶ οὕτω συμβέβηκεν
αὐτοῖς μὴ ἀπαλλαγῆναι τῶν οἰκείων ἁμαρτημάτων, ἀλλ' ἀντιπάθειαν
„ ἔχειν πρὸς τὴν ἑαυτῶν σωτηρίαν. „ὁ σπείρων τὸν λόγον
„ σπείρει, οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος,
„ καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ Σατανᾶς, καὶ αἴρει τὸν
„ λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν." μετὰ τὸν σπόρον
ἐν οἷς ὁ μὲν ποιεῖ λ, ὁ δὲ ξ, ὁ δὲ ρ. καὶ μετὰ τὴν ἐπερώτησιν τῶν

μαθητῶν ἀποστόλων καὶ τῆς παραβολῆς τὴν διασάφησιν, καλῶς ἐπήγα-
γε, τὴν διασάφησιν      μήτι ἔρχεται ὁ λύχνος, ἵνα ὑπὸ τὸν μόδιον
τεθῇ; καὶ τό, οὐ γάρ ἐστι κρυπτὸν εἰ μὴ ἵνα φανερωθῇ· οὕτω γὰρ
καὶ ἡ παραβολὴ ἐλέχθη, οὐχ ἵνα ἀσαφὴς μείνῃ, οὐδὲ ἵνα κεκρυμμέ-
νη ὡς ὑπὸ μόδιον, ἀλλ᾽ ἵνα τοῖς ἀξίοις φανερωθῇ· συνάδει δὲ τῇ
λύσει τῆς παραβολῆς τὰ περὶ τοῦ λύχνου· εἰ γὰρ ἔχει τις τὸν σπ-
όρον, ἐξέρχεται τοῦ σπεῖραι· καὶ ὁ αὐτὸς καθ᾽ ἕτερον παράδειγμα
ὃν ἔχει λύχνον ἅψας, οὐ καλύπτει· τίθησι δὲ ἐπὶ λυχνίαν, ἵν᾽ οἱ
εἰσπορευόμενοι βλέπωσι τὸ φῶς καὶ λάμπῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ·
ἡ γὰρ ἐν ἡμῖν ὑποκειμένη νοητικὴ φύσις ὑπὸ λόγων ἀναπτομένη κα-
τὰ ἀναλογίαν τοῦ εἰς ἐπίγνωσιν φωτισμοῦ· ἤτοι λαμπρῶς φαίνει, ἢ
ἀμαυρῶς, καὶ ἤτοι τῇ τρεφούσῃ τὸ φῶς μελέτῃ καὶ ἀναμνήσει, καὶ
ταῖς συγγενέσι τροφαῖς παραμένει ἀναφθεὶς ὁ τοιοῦτος λύχνος,
ἢ ἀμελείᾳ ἀμαυρούμενος, καὶ μὴ ἀναζωπυρούμενος σβέννυται· ὁ
δὲ βουλόμενος τὸν λύχνον ἐφαρμόζειν καὶ τοῖς τελειοτάτοις τῶν
Ἰησοῦ μαθητῶν πείσει ἡμᾶς ἀπὸ τῶν Ἰωάννου παρὰ Ἰωάννου λε-
γομένων, ὅτι ἐκεῖνος ἦν λύχνος καιόμενος καὶ φαίνων· ἀλλὰ καὶ
τό, ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἀναφερόμενος ἐπὶ
τὸν ἑκάστου νοῦν πᾶσιν ἀνθρώποις ἐφαρμόσει, ἀλλὰ καὶ ἔστωσαν
ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, πρὸς πάντ-
ας εἴρηται μαθητὰς τοῦ Χριστοῦ· φήσει τις οὖν ἐπὶ τὴν ἐνεστηκυῖαν
ζωὴν ἀναφέρεσθαι τὸ εἰρημένον περὶ τοῦ μὴ δεῖν τὸν ἀνάψαντα
λύχνον ἐν ψυχῇ λογικῇ κρύπτειν αὐτόν, ἀλλ᾽ ἐπιτιθέναι λυχνίᾳ·
χρὴ οὖν τὸν λύχνον μὴ ὑπὸ τὸν μόδιον εἶναι τοῦ σιτομετρίου·
μοδίῳ μὲν γὰρ σιτομετρείσθωσαν ὑπὸ τοῦ πιστοῦ καὶ φρονίμου

οἰκονόμων· βλεπέτωσαν δὲ καὶ τὰς αὐγὰς τοῦ λύχνου ἐπικεί-
μενου τῇ λυχνίᾳ· καὶ εἰς φανερὸν τοῦ λόγου προαγομένου,
οἱ ἐν τῇ οἰκίᾳ πάντες τῇ ἐκκλησίᾳ. ἀλλ' οὐδὲ ὑπὸ τὴν
κλίνην τιθέασι τὸν λύχνον ἔνθα τις ἀναπαύεται· οὐδὲ ἄλλου
ἄλλου τινὸς σκεύους ὑποκάτω· τοῦτο γὰρ ὁ ποιῶν οὐ προ-
νοεῖται τῶν εἰσπορευομένων εἰς τὴν οἰκίαν οἷς δεῖ τίθεσθ-
αι τὸν λύχνον, οἱ τῷ ἀληθινῷ φωτὶ καὶ λόγῳ τῷ λαμπρῷ,
καὶ ταῖς ἀκτῖσι τῆς σοφίας, ἀναπαύοντες τὸν ἐν αὐτοῦ νο-
ῦν· φύσιν ἔχοντα κατὰ τὴν κατασκευασιν αὐτὸν ὁ δημιουργὸς·
τοῦ λύχνου δεομένου τῆς ἀπὸ λόγου σοφίας, καὶ τῆς ἀλη-
θείας, τοῦ ἀληθινοῦ φωτὸς ἀνάψεως. καὶ νομιστὸν τήν· ἔσ-
ωσαν ὑμῶν οἱ λύχνοι καιόμενοι, ὑπὸ μὲν τῶν προνοουμένων·
ἔχειν ἐν τῇ ψυχῇ τὸν νοῦν διορατικώτατον καὶ μετέχοντα
τοῦ εἰπόντος, ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα πληροῦσθ-
αι. οἱ γὰρ καίοντες τὸν λύχνον καὶ τιθέντες ἐπὶ τὴν λυ-
χνίαν, ἵνα λάμπῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, βλέποντας τὴν
τοῦ λύχνου λαμπρότητα, καὶ αὐτοὺς καίειν τὴν ἑαυτῶν λυ-
χνίαν· δυνάμει οὖν τοῦτό φησιν· ἐγὼ μὲν ἧψα τὸ φῶς·
τὸ δὲ μένειν καιόμενον τῆς ὑμετέρας ἔστω σπουδῆς, οὐ δι' ὑμ-
ᾶς αὐτοὺς μόνους, ἀλλὰ καὶ διὰ τοὺς μέλλοντας τῆς αὐγῆς
ἀπολαύειν καὶ πρὸς τὴν ἀλήθειαν χειραγωγεῖσθαι. ἐὰν γὰρ
ὑμεῖς ἦτε μετὰ ἀκριβείας βιοῦντες, οὐ δυνήσονται αἱ
κατηγορίαι συσκιάσαι ὑμῶν τὴν λαμπάδα· εἶτά φησι·

βλέπετε τί ἀκούετε. τουτέστιν ἥψατε, πρὸς τὸ μέτ-
ρον τῆς ὑπακοῆς καὶ ἡ γνῶσις δοθήσεται· καὶ ὅσον ἂν βού-
ληταί τις σοφίας ἐπισπάσηται τῇ προθυμίᾳ πρὸς ὃ δίδωσι
μέτρον ἀντιλαμβάνων. οὐδὲν γὰρ ἄμετρον ἐν ἀνθρώποις, οἷς

ἐστι χρυσὸν ἢ φαῦλον. διόπερ κατὰ τῆς ἀναλογίας οὗ ἐμέτρη-
σεν ἕκαστος, μετρηθήσεται. ὃς γὰρ ἂν ἔχῃ πόθον καὶ προθυ-
μίαν τοῦ ἀκούειν καὶ αἰτεῖν, δοθήσεται αὐτῷ. ὃς δ' ἂν οὐκ
ἔχῃ θείας ἀκροάσεως ἔρωτα, καὶ εἴ τι ἔδοξεν ἔχειν μικροῦ
γραπτοῦ, ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ ὧδε μὲν παραλέλειπ-
ται τὸ ὃ δοκεῖ ὑπὸ τῶν ἄλλων προστεθὲν, τὸ ἔχειν. φήσει
δέ τις. τὸ μὲν οὖν ἔχει διὰ τὴν ἀλήθειαν λέγεσθαι ἣν οὐκ
ἔχει τὸ δὲ, ὃ ἔχει, δι' ὃ ἔχει ψεῦδος. δοκεῖ γὰρ ἔχειν ὁ
ἐν ψευδωνύμῳ γνώσει ὢν καὶ ἐλέγχει αὐτόν. Καὶ ἔλεγεν·
οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ὡς ἐὰν ἄνθρωπος βάλῃ
τὸν σπόρον ἐπὶ τῆς γῆς. καὶ καθεύδῃ καὶ ἐγείρηται νύ-
κτα καὶ ἡμέραν, καὶ ὁ καρπὸς βλαστάνῃ καὶ μηκύνηται ὡς
οὐκ οἶδεν αὐτός. Βασιλείαν τοῦ θεοῦ τὴν εἰς αὐτὸν
πίστιν, καὶ τῆς ἐνσάρκου παρουσίας οἰκονομίαν φησί. αὐ-
τῇ οὖν ἔοικεν. ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς
γῆς. θεὸς γὰρ ὢν καὶ υἱὸς θεοῦ προαιώνιος, ἄνθρωπος ἀτ-
ρέπτως γέγονε δι' ἡμᾶς σπείρας τῇ γῇ. καὶ τὸν ἅπαντα κό-
σμον φωτίσας τῷ τῆς θεογνωσίας λόγῳ. καὶ οἱονεὶ καθεύ-
δει ἀναληφθείς. ἀναμένων διὰ τῆς μακροθυμίας καὶ ἀνεξικακ-
ίας, καρποφορῆσαι τοὺς δεξαμένους τὸν σπόρον. τουτέστι
τὸν σωτήριον λόγον. ἐγείρεται δὲ νύκτα καὶ ἡμέραν, τοῖς
τῆς προνοίας λόγοις. διεγείρων ἡμᾶς πρὸς τὴν καρποφορίαν,
διὰ τῶν δεξιῶν ὅπλων τῆς δικαιοσύνης, τοῦτο γὰρ ἡ ἡμέρα
καὶ τὸ φαιδρὸν τῆς χρηστότητος. διὰ τῶν ἀριστερῶν τε καὶ σκ-
αιοτέρων, διὰ τὸ τῆς παιδείας σκυθρωπόν. διὰ τούτων γὰρ ὁ

σπόρος βλαστάνει τε καὶ μηκύνεται· τὸ δέ, ὡς οὐκ οἶδεν αὐτός,
ἵνα εἴη τῷ αὐτεξουσίῳ τῶν δεχομένων τὸν λόγον βουλήματι
ἐπιτρέπων τὴν ἐργασίαν· καὶ μὴ τὸ πᾶν αὐτὸς κατεργαζόμε-
νος, ἵνα μὴ ἀκούσιον ἡμῶν ᾖ τὸ ἀγαθόν· ὅθεν ἐπάγει·
"αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ" οὐκ ἀνάγκης τῆς αὐτεξουσίου
βιαζομένης, ἀλλὰ προαιρέσεως προϊούσης εἰς τοῦτο. καρποφο-
ρεῖ δὲ πρῶτον χόρτον νόμῳ φύσεως καὶ ταῖς κατὰ μικρὸν ἀ-
ναβάσεσι προϊοῦσα εἰς τελείωσιν. προϊοῦσα· εἶτα φέρει στάχυν
τὸν προσαγόμενον τῷ θυσιαστηρίῳ τοῦ κυρίου, καὶ εἰς δράγ-
μα γιγνόμενον τῶν ἐρχομένων ἐν ἀγαλλιάσει καὶ αἰρόντων
τὰ δράγματα αὐτῶν· ὅτε δὲ παραδῷ ὁ καρπός, καὶ αἱ χῶ-
ραι λευκανθῶσι πρὸς θερισμόν, ἐκτείνει τὸ δρέπανον ὁ κα-
λὸς γεωργός, ἵνα συνάξῃ τὸν σῖτον εἰς τὰς ἀποθήκας· οὐ-
δὲ γὰρ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν τὸ ἀνθῆσαι μόνον ὡς
χόρτος, διὰ τῆς ὑπακοῆς, ἀλλὰ καὶ ἀνδρείας δεῖ, ἵνα ὡς κα-
λάμη σίτου ἱστώμεθα· τῷ πνεῖν τῶν ἀνέμων περιφρονοῦν-
τες, ἤτοι πειρασμῶν, εἰς ὕψος τείνοντες τῆς ψυχῆς τὸ ἀν-
άστημα καὶ μνήμης δεῖ διηνεκοῦς, ἵνα ὡς στάχυς ὠδινήσωμεν τὸν
καρπόν· καὶ τῇ ἐπεξεργασίᾳ τῆς ἀρετῆς τέλειον αὐτὸν ἀποδείξ-
ωμεν· τοῦ θερίζοντος τὴν χεῖρα πληροῦντες, καὶ εἰς εὐλογίαν
κυρίου τηρούμενοι. θερισμὸς δ' ἂν εἴη ὁ τῆς συντελείας
καιρός· δρέπανον δὲ ὁ τοῦ θεοῦ λόγος· αὕτη τοίνυν ἡ παρα-
βολὴ περὶ δικαίων εἴρηται μόνον· ἡ δὲ πρώτη τέσσαρα τίθησι
τάγματα, τριῶν διαφόρως ἀπολλυμένων καὶ ἑνὸς σωζομένου
κατὰ τὴν ἀναλογίαν τῆς πίστεως καὶ τῆς ἐργασίας· τρεῖς γὰρ
καὶ τούτου εἴρηκε διαφοράς. ἐνταῦθα δὲ μόνην τέθεικε τῶν

σπειρομένων διαφοράν· τὰς τρεῖς εἰς μίαν συναγαγών· ἅπασαι
γὰρ φέρουσι σῖτον, εἰ δὲ μὴ ὁμοίως ἀλλήλαις· " καὶ ἔλεγεν
" Τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ, ἢ ἐν ποίᾳ πα- "
ραβολῇ παραβάλωμεν αὐτήν· " βραχὺς ὁ τῆς πίστεως λόγος "
ἐν τῷ κόσμῳ διὰ τοῦ κηρύγματος καὶ τῶν πώποτε γενομέν-
ων ἐν ἀνθρώποις, ἐν βραχυτάτοις οὗτος ἐπαγγέλλεται ῥήμα-
σιν· ἡ δὲ ἐν τοῖς τελείοις λαλουμένη σοφία, πλατύνει τὸν λό-
γον ὑπὲρ πάντας λόγους ἅτε δὴ μόνον ἡ ἀλήθεια πλατυνό-
μενον· μεῖζον δὲ ἀληθείας οὐδέν· εἶτα οἱ μετέωροι τὸ φρό-
νημα καὶ τοῖς ἰδίοις ἐπαιρόμενοι λόγοις, ἐφίενται τῆς ὑπὸ
τὸν ἀληθινὸν λόγον σκιᾶς, καὶ καταφεύγουσιν εἰς αὐτόν· εἶτα
ὡς συντομίᾳ χαίρων οὗτος ὁ εὐαγγελιστὴς τῶν παραβολῶν
" ὑποδείξας τὸ εἶδος, ἐπιφέρει" καὶ τοιαύταις παραβολαῖς ἐλ-
άλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν· καὶ λέγει
αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης· " Διέλθωμεν "
εἰς τὸ πέραν· καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν "
αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· " οὗτος μὲν ὁ εὐαγγελιστὴς "
ἀπαλλάττων ἑαυτὸν τοῦ ἀπαιτηθῆναι τῶν χρόνων τὴν τάξιν
οὕτως εἶπεν· ὁμοίως δὲ ὁ Λουκᾶς, ὁ δὲ Ματθαῖος οὐχ οὕ-
τως, ἀλλὰ καὶ ἀκολουθίαν ἐνταῦθα διατηρεῖ· οὐδὲ γὰρ
οὗτοι πάντες πάντα ἔγραφον, ταῦτα δὲ εἴρηται, ἵνα μὴ τὴν
παράλειψιν διαφωνίαν τις εἶναι νομίσοι, τοὺς μὲν οὖν μαθη-
τὰς μεθ' ἑαυτοῦ ὄγα τοὺς ὄχλους ἀφεὶς ἤτοι προπέμψας.
παρέλαβε δὲ οὐ μάτην, οὐδὲ εἰκῇ, ἀλλ' ὥστε ποιῆσαι θεατὰς

του μέλλοντος ἔσεσθαι θαύματος, καὶ ἵνα μὴ μέγα φρονῶ-
σιν ... τοὺς ἄλλους ἀφέντας· αὐτοὺς κατέχει ἀφίησι κλυδ-
ωνισθῆναι· τοῦτό τε κατορθῶν, καὶ πειρασμοὺς φέρειν γε-
ναίως. ὁ μὲν οὖν Ματθαῖος φησὶν ὅτι ἐκάθευδεν, ὁ δὲ
Μάρκος καὶ πῶς ἐκάθευδεν εἶπεν, ὅτι ἐν προσκεφαλαίῳ·
ἁπλῶς δεικνὺς τὸ ἄτυφον, καὶ πολλὴν ἡμᾶς ἐντεῦθεν παι-
δαγωγῶν φιλοσοφίαν· διὰ τοῦτο δὲ καθεύδει διδοὺς καιρὸν τῇ
δειλίᾳ, καὶ τρανοτέραν αὐτοῖς ποιῶν τὴν αἴσθησιν. εἰ γὰρ ἐγ-
ρηγορότος ἐγένετο, ἢ οὐκ ἐφοβήθησαν, ἢ οὐ παρεκάλεσαν, ἢ
οὐδὲν ἐνόμισαν αὐτὸν τοιοῦτόν τι ποιεῖν. συγχωρεῖ τὸν χει-
μῶνα, ἵνα διὰ τῆς ἀπαλλαγῆς σαφεστέραν λάβωσιν αἴσθησιν
τῆς εὐεργεσίας. διὰ τοῦτο δὲ οὐδὲ παρόντων ἄλλων τοῦτο ποι-
εῖ, ὥστε μὴ καταγνωσθῆναι αὐτῶν ὀλιγοπιστίαν, ἀλλ' αὐτοὺς
μόνους διορθοῦσθαι λαβὼν διορθοῦται. οὐδὲ γὰρ τὴν προσ-
ήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον. ἀλλ' ὅτι μὲν δύναται διεγ-
ερθεὶς ἐπιτιμῆσαι ᾔδεσαν· ὅτι δὲ καθεύδων οὐδέπω. διὸ καὶ ἐπι-
τιμῶνται πολλάκις. "Καὶ ἦλθεν εἰς τὸ πέραν τῆς θαλάσ-
σης, ἐπὶ τὴν χώραν τῶν Γαδαρηνῶν." οὔτε Γαδαρηνῶν οὔτε
Γερασηνῶν, τὰ ἀκριβῆ ἔχει τῶν ἀντιγράφων, ἀλλὰ Γεργεσ-
ηνῶν. Γάδαρα μὲν ταῖς Ἰουδαίαις τῆς Ἰουδαίας λίμνη δὲ
κρημνοῖς παρακειμένη, οὐδαμῶς ἐστιν ἐν αὐτῇ, ἢ θάλασσα, οὔτε
πλησίοι αὐτῆς ἔχοι, καὶ οὐκ ἂν οὕτω προφανὲς ψεῦδος καὶ
εὐέλεγκτον οἱ εὐαγγελισταὶ εἰρήκεσαν· ἄνδρες ἐπιμελῶς γινώσ-
κοντες τὰ περὶ τῆς Ἰουδαίας. Γέργεσα δὲ ἐστιν ἀφ' ἧς οἱ Γερ-
γεσαῖοι, πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην Τιβεριάδος λίμ-
νην· περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἐφ' ἧς δείκνυται
τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι. ἑρμηνεύεται δὲ

ἡ Γέργεσα

ἡ Γέργεσα παροικία ἐκβεβληκότων ἐπώνυμος οὖσα· τάχα προφη-
τικῶς· οὓς περὶ τὸν σωτῆρα πεποιήκασι παρακαλέσαντες αὐτὸν
μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων πολῖται. ἰστέον δὲ
ὡς Μάρκος καὶ Λουκᾶς ἕνα φασὶν εἶναι τὸν δαιμονιζόμενον Ματ-
θαῖος δὲ δύο. τὸ δὲ οὐ διαφωνίαν ἐμφαίνει. εἰ μὲν γὰρ εἶπον ὅτι
εἷς μόνος ἦν, ἔδοξαν ἀμφιβάλλειν τῷ Ματθαίῳ. εἰ δὲ ὁ μὲν περὶ
τοῦ ἑνός, ὁ δὲ περὶ τῶν δύο διελέχθη, οὐ μάχης τὸ ἔργον ἀλλὰ δι-
αφόρου διηγήσεως. καὶ γὰρ ἔμοιγε δοκεῖ τὸν χαλεπώτερον τούτων
ἐπιλεξαμένους εἰρηκέναι· διὸ καὶ τραγικώτερον ἀπαγγέλλουσι τὴν
συμφοράν. οἷον ὅτι τὰ δεσμὰ καὶ τὰς ἁλύσεις διαρρήσσων ἠλαύνε-
το κατὰ τὴν ἔρημον. ὁ δὲ Μάρκος καὶ τῷ λίθῳ ἔκοπτεν ἑαυτόν.
συνέβαινε δὲ καὶ ἀμφοτέρων ὁμοίως ὄντων χαλεπῶν ἁπλῶς εἰπεῖν,
ὅτι δαιμονιζόμενος· μὴ ἀκριβολογησαμένους περὶ τὸν ἀριθμόν.
ἐπεὶ μηδ᾽ ὡς συντελεῖν τοῦτ᾽ ἐνόμιζεν εἰς τὸ μείζονα τοῦ ποιήσ-
αντος φανῆναι τὴν δύναμιν. ὁ γὰρ ἕνα θεραπεύσας τοιοῦτον ὄν-
τα, οὐδὲ δύο οὐδὲ πλείονας ὁμοίως διακειμένους θεραπεύειν ἀδύνα-
τος ἦν. καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου εὐθέως ἀπήντησ-
εν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ· ὃς
τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι. τί δήποτε δὲ τοῖς τά-
φοις ἐμφιλοχωροῦσιν οἱ δαίμονες; ὀλέθριον δόγμα τοῖς πολλο-
ῖς ἐνθεῖναι βουλόμενοι. οἷον ὅτι αἱ ψυχαὶ τῶν ἀπελθόντων δα-
ίμονες γίνονται. ὃ μηδὲ ποτὲ γένοιτο, μηδὲ μέχρι τῆς ἐννοίας
λαβεῖν. εἰ δὲ καὶ ἄγαν εἰσὶ μοχθηροὶ τὸν τρόπον οἱ δαίμονες, ἀλλ᾽
οὖν γε ἴσασιν ὅτι πάντως αὐτοὺς ὑπὲρ τῶν ἁμαρτημάτων μετι-

τις κόλασις ὕστερον. καὶ νομίσαντες ἤδη τὴν κόλασιν αὐτοῖς ἐφε-
στάναι ἔδεισαν ὡς ἤδη εἰς τιμωρίαν εἰσπεσούμενοι. διὸ ἀξιοῦσι
μὴ πρὸ καιροῦ δοῦναι τὴν δίκην. ὅτι γὰρ οὐχ ὁ καιρὸς ἐπέστη
τῆς κολάσεως ῥαδίως ἠδύναντο γνῶναι, ἐξ ὧν οὐ τιμωρίᾳ παρ-
εδίδοντο νῦν. ἀλλ' ὥστε ἀναχωρῆσαι τῶν ἀνθρώπων συνωθεῖ μό-
νον αὐτούς. ὡς οὖν καιρὸν ἔχοντες ἐν τῷ μέσῳ ποιεῖν ἃ βούλον-
ται περὶ τοὺς ἀνθρώπους, οὕτω κατεβόων τοῦ κυρίου. ὡς ἂν
πρὸ τοῦ προσήκοντος καιροῦ μάτην αὐτοὺς βιαζομένου, καὶ
τιμωρίαν ἐπάγοντος. ἀλλ' ἐπειδὴ κατέλαβεν αὐτοὺς τὰ δεινὰ καὶ
παράνομα ἐκεῖνα κατεργαζομένους, καὶ ἐνόμιζον αὐτοῦ δι' ὑπερβο-
λὴν τῶν γινομένων. οὐκ ἀναμένειν καιρὸν τῆς κολάσεως, διὰ τοῦ-
το παρεκάλουν καὶ ἐδέοντο αὐτοῦ μὴ τιμωρηθῆναι. ἐπειδὴ δὲ
ὁ κύριος ἤδει τὸ πλῆθος τῶν ἐνοικούντων δαιμόνων. οἱ δὲ ὁρῶν-
τες ἕνα μὲν ἄνδρα ἔβλεπον, μιᾶς δὲ προφερομένης φωνῆς ἤκου-
ον, ἵνα μὴ αὐτὸς εἰπὼν ὅτι πολλοί εἰσιν ἀπιστηθῇ, ἀλλ' αὐτοὶ ὁ-
μολογήσωσιν ὅτι πολλοὶ τυγχάνουσι. λέγει, εἰπὲ τί ὄνομά
σοι καὶ οὐ λέγει τὸν ἀριθμόν. ἀλλ' ἁπλῶς λέγει τὸ πλῆθος. οὐ-
δὲν γὰρ ὠφελεῖ εἰς γνῶσιν ἡ ἀκρίβεια τοῦ ἀριθμοῦ. "παρεκά-
"λουν δὲ αὐτὸν πολλά, ἵνα μὴ ἀποστείλῃ αὐτοὺς ἔξω τῆς χώρας."
ἢ ὡς ὁ Λουκᾶς εἰς τὴν ἄβυσσον. ἡ γὰρ ἄβυσσός ἐστιν ἀναχώ-
ρησις τούτου τοῦ κόσμου. ἀξιοῦσι τοίνυν οἱ δαίμονες μὴ
πεμφθῆναι ἔξω τῆς γῆς, μηδὲ ὅπου οὐκ ἄνθρωποι, εἰς τὸ σκό-
τος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγ-
έλοις αὐτοῦ. τοῦτο γὰρ ὁ κύριος ἠδύνατο μὲν ποιῆσαι. συνε-
χώρησε δὲ αὐτοὺς εἶναι ἐν τῇ γῇ ὥσπερ καὶ τὸν διάβολον ἵνα
μὴ τοῦ ἀντιπάλου ἡ ἀπουσία ζημιώσῃ τὴν ἀνθρωπότητα τοῦ στε-
φάνου τῆς νίκης. τίνος δὲ ἕνεκεν ὁ κύριος τοῖς δαίμοσιν εἰσελθεῖν-

αἰτήσασι εἰς τοὺς χοίρους ἐπέτρεψε, βουληθεὶς ἅπασι δεῖξαι ἥν τι-
να τὴν ὀργὴν κατὰ τῶν ἀνθρώπων οἱ δαίμονες ἔχουσι· καὶ ὅτι πο-
λῶ ἐλάττονα ἢ βούλονται καὶ δύνανται τοὺς ἀνθρώπους ἐργάζοντ-
αι κακὰ τῇ τοῦ θεοῦ κωλυόμενοι δυνάμει. ἐπὶ μὲν τῶν ἀνθρώ-
πων ταύτην οὐ παρέσχετο τὴν ἀπόδειξιν. ἐπέτρεψε δὲ αὐτοὺς εἰς
τοὺς χοίρους εἰσελθεῖν· ὥστε ἀπ' ἐκείνων τήν τε ὀργὴν φανῆναι δαι-
μόνων καὶ τὴν δύναμιν. καὶ ὅτι οἱ τοσούτους χοίρους συντόμως
ἀφανήσαντες οὐκ ἀδύνατοι τὰ αὐτὰ διατιθέναι τοὺς ἀνθρώπους
καθεστήκεισαν· καὶ διὰ πάντων φανερὰν εἶναι τοῦ θεοῦ τὴν δύναμιν
κωλύοντος αὐτοὺς ἅπαντα πράττειν εἰς τοὺς ἀνθρώπους ὅσα καὶ
βούλονται. ἵνα δὲ μὴ δόξῃ διὰ τῆς παρουσίας μόνον φυλάσσειν αὐτ-
ὸν ἀπέλυσε τὸν ἰαθέντα. ὑπόστρεφε εἰς τὸν οἶκόν σου εἰπών. καὶ
διηγοῦ ὅσα σοι ἐποίησεν ὁ θεός. τί δήποτε δὲ ὁ πανταχοῦ καὶ
πᾶσι τοῖς τεθεραπευμένοις παραγγέλλων μηδενὶ εἰπεῖν· μηδὲ φα-
νερῶσαι αὐτόν· τῷ ἰαθέντι ἐκ τοῦ λεγεῶνος τῶν δαιμόνων τοῦ-
τό φησιν. ἔστιν οὖν τοῦτο εἰπεῖν ὅτι τοῦτο ἁρμοδίως πεποίηκε.
διότι πᾶσα ἡ χώρα ἐκείνη ἄθεος ὑπῆρχε δεισιδαιμονίᾳ κρατου-
μένη, καὶ οὐδεὶς ἐστὶ φοβούμενος τὸν θεόν. πέμπει οὖν αὐτὸν
διηγεῖσθαι ὅσα εἰργάσατο εἰς αὐτὸν θεὸς ὢν ὁ χριστός. ὁ
τοίνυν μὴ θέλων ἵνα ἐπιστρέψῃ ὁ ἰησοῦς εἰσελθεῖν εἰς αὐτὸν
τὸν λεγεῶνα, μεταβαλέτω ἀπὸ τοῦ εἶναι χοῖρος τουτέστιν ἀπὸ
φιληδονίας εἰς φιλόθεον, ἵνα ἀποθανὼν τῷ εἶναι χοῖρος, ζήσῃ
τῷ ἄνθρωπος γενέσθαι. τὸ δὲ ἐν τοσούτῳ πλήθει τῶν χοί-
ρων καμεῖν τοὺς δαίμονας δηλοῖ τὴν ἀγαθότητα ἰησοῦ. οὐ

συγχωρήσει ὑπεξελύετο ἡ δύναμις τῶν δαιμόνων ἐν χοίροις,
ἵνα ἀτονήσῃ ἐνεργεῖν ἐν ἀνθρώποις· καὶ προσκαλεῖται "Καὶ
„ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο
„ δύο· καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρ-
„ των καὶ παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ
μὴ ῥάβδον μόνον." ὁ μὲν Ματθαῖος, καὶ οἵτινες ἦσαν
προστίθησι καὶ τὸν τρόπον ὅτι ἀνὰ δύο ἀπεστάλησαν· τοῦτο
μὲν ὁ μὲν Μάρκος σαφῶς τίθησιν ὁ δὲ Ματθαῖος τὸ λέγ-
ειν ὅσδε καὶ ὅσδε ἀλλὰ μὴν καὶ τὴν τάξιν αὐτῶν, τίς μὲν
ὁ πρῶτος σημαίνων, τίς δὲ ὁ δεύτερος· εἶτα μήτε χρυσὸν
μήτε ἄργυρον ἢ χαλκὸν τὸν κατὰ τὴν ὁδὸν χρείας ἕνεκεν ἀν-
αλῆται λαβεῖν, φησὶ πρὸς αὐτοὺς ὁ κύριος· ἀλλὰ μηδὲ πήραν
ἔχειν· ὥστε ἀπὸ χρήματος δεικνύναι αὐτοὺς ὅσον ἀφεστήκασι
τῆς τῶν χρημάτων ἐπιθυμίας. καὶ ὁ μὲν Ματθαῖος καὶ
Λουκᾶς μήτε ὑποδήματα μήτε ἱμάτιον μήτε ῥάβδον λαβεῖν
φησὶ ὃ δοκεῖ πάντων εὐτελέστατον εἶναι· ὁ δὲ Μάρκος
ῥάβδον ἐπιτρέπει αὐτοὺς λαμβάνειν καὶ ὑποδεδέσθαι σανδά-
λια, ἀλλὰ τὸ μὲν [illegible] τῆς ῥάβδου ἴσως κατὰ συγχώρησιν
φαίη τις λέγεσθαι τῷ προσθεῖναι εἰ μὴ ῥάβδον μόνον.
„ Μήτε δὲ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν, ἀλλὰ
„ μηδὲ ὑποδεδέσθαι σανδάλια· μηδὲ ἐνδύσασθαι δύο χιτῶνας.
κατὰ κοινοῦ γὰρ εἰρῆσθαι νομίζειν δεῖ· τῷ μήτε τούτοις συνᾴδειν
καὶ τὰ κατὰ Λουκᾶν ἐν τῷ πάθει εἰρημένα πρὸς τοὺς μαθητὰς
ὑπὸ κυρίου· ὅτε ἀπέστελλον ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας
καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; ἐνταῦθα γὰρ ἐσιώπησε τὴν
ῥάβδον ὡς συγχωρηθεῖσαν ἐν τῇ κατὰ Μάρκον. ἴσμεν δὲ ὡς οὐ
καιρία τις ἐστὶν ἐν τούτοις διαφωνία. ἐκέλευσε δὲ καὶ εἰς οἰκίαν με-

νειν

μένειν μὴ μεθισαμένους, ὥστε μὴ εὐκόλου καὶ προχείρου γνώμης ἀπο-
φέρεσθαι δόξαν παρὰ τοῖς τὴν πόλιν οἰκοῦσι. ἐκέλευσε δὲ τοῖς μὴ πε-
ιθομένοις αὐτοῖς μηδὲ ὑποδεχομένοις καὶ τὸν κονιορτὸν ἐκτινάσσειν
τῶν ποδῶν, σύμβολον ὄντα τῆς ὁδοιπορίας ἣν ὑπέμενον ὑπὲρ αὐτῶν δη-
λῶν ὡς τῶν ἁμαρτιῶν αὐτῶν ὁ κονιορτὸς εἰς αὐτοὺς ἐπανέλθοι. καὶ
“καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους, καὶ ἐθεράπευον”. τούτοις πα-
ραπλήσια καὶ ὁ Λουκᾶς ἐξέθετο. τὸ δὲ ἤλειφον ἐλαίῳ, μόνος ἔφη
ὁ Μάρκος καὶ Ἰάκωβος ἐν τῇ καθολικῇ ἐπιστολῇ τὰ ὅμοια φησί. τὸ
ἔλαιον καὶ κόπους ἰᾶται καὶ φωτὸς αἴτιον καὶ ἱλαρότητος ὑπάρχει.
σημαίνει οὖν τὸ ἀλειφόμενον ἔλαιον καὶ τὸ παρὰ θεοῦ ἔλεος καὶ τὴν
ἴασιν τοῦ νοσήματος καὶ τῆς καρδίας τὸν φωτισμόν. ὅτι ἡ εὐχὴ
τὸ πᾶν ἐνήργει παντί που δῆλον, τὸ δὲ ἔλαιον, σύμβολον τούτων
ὑπῆρχε. “καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης. φανερὸν γὰρ ἐγένετο
τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν ὅτι Ἰωάννης ὁ βαπτισθεὶς ἐκ νεκρῶν
ἠγέρθη”. οὗτος Ἡρώδης υἱὸς ἦν Ἡρώδου τοῦ πρώτου, ἐφ' οὗ καὶ
εἰς Αἴγυπτον ἀπήγαγεν Ἰωσὴφ τὸν Ἰησοῦν. τετράρχην δὲ τοῦτον
ὅτε Ματθαῖος καὶ Λουκᾶς ὀνομάζει ὡς τετάρτου μέρους τῆς ἀρχῆς
ἄρχοντα. οἱ γὰρ Ῥωμαῖοι διεῖλον ταύτην εἰς μέρη δ΄. μετὰ τὸν
τοῦ πρώτου θάνατον, ἐπέτρεψαν δὲ τῷ υἱῷ ἄρχειν τοῦ δ΄ου. ὁ δὲ
Μάρκος καὶ ἕτεροί τινες καὶ βασιλέα καλοῦσιν εἴτε ἀπὸ τῆς τοῦ πρὸς
συνηθείας εἴτε καὶ οὐδέτεροι ἔστ τῇ φωνῇ κεχρημένοι. ἀκούων τοί-
νυν οὗτος τοῦ κυρίου τὰ θαύματα, ὑπέλαβε τὸν Ἰωάννην ἐγηγέρ-
θαι ἐκ νεκρῶν, ὃν αὐτὸς ἀπεῖλε καρατομήσας. ὡς δὲ ὁ Λουκᾶς φησί.
καὶ ἑτέρως ταῦτα ὑπολαμβανόντων, ἀκούσας μειζόνως διαπορεῖν ἠναγ-
κάζετο, ὥστε καὶ ἰδεῖν αὐτὸν θελῆσαι. ἐπὶ τῷ γνῶναι εἴπερ οὗτος ἐκεῖ-

νός ἐστιν. ὁ δὲ Μάρκος εἰπὼν ὥς τινές φασιν ὅτι ἄλλοι δὲ ἔλεγον,
ὅτι προφήτης ἐστὶν ὡς εἷς τῶν προφητῶν αἰνίττεσθαί μοι δοκεῖ λέγ-
ειν ἐκείνους, περὶ οὗ φησιν ὁ Μωσῆς. προφήτην ὑμῖν ἀναστήσει κύ-
ριος ὁ θεὸς ὑμῶν ὡς ἐμέ. ἴσως γὰρ φανερῶς λέγειν ἐφοβεῖτο. ὅτι
δὴ ὁ χριστός ἐστι, καὶ τῇ τοῦ μωσέως ἐκέχρητο φωνῇ τὴν ὑπόλη-
ψιν αὐτῶν συσκιάζων δὲ διὰ τὸν φόβον τῶν ἡγουμένων. ἡ δὲ αἰτία
τοῦ φόνου ἰωάννου, αὕτη ἦν. ἡρώδου τὴν γυναῖκα τοῦ ἰδίου
ἀδελφοῦ φιλίππου ἀφελομένου ζῶντος ἔτι καὶ θυγατέρα ἔχοντος ἐξ
αὐτῆς. συνοικοῦντός τε αὐτῇ, οὐκ ἐνεγκὼν τὸ μύσος ὁ ἰωάννης
ἤλεγχεν αὐτὸν ἐπὶ τῇ παρανομίᾳ. ὁ δὲ ἀναιρεῖ αὐτὸν τῇ φυλακῇ
πρῶτον ἐγκαθείρξας καθώς φασιν οἱ εὐαγγελισταί. "καὶ ἀπῆλ-
"θεν εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν. καὶ εἶδον αὐτοὺς ὑπάγον-
"τας. καὶ ἐπέγνωσαν αὐτὸν πολλοί" τοῦ σωτῆρος, φησὶ σὺν τοῖς
"μαθηταῖς ἀπερχομένου ἐπὶ πλοίου εἰς ἔρημον τόπον κατιδίαν. ἠκο-
λούθησεν αὐτῷ πολὺ πλῆθος τῶν θαυμάτων ἕνεκα. θεασάμενος οὖν
αὐτοὺς ἀπὸ τῆς ὁδοιπορίας κεκμηκότας, ᾤκτειρέ τε αὐτοὺς ἡσθεὶς
αὐτῶν τῇ σπουδῇ καὶ ἐδίδασκε. καὶ ἤδη ὥρας πολλῆς γενομένης,
διὰ τὴν ἐρημίαν τοῦ τόπου καὶ τῶν ἐπιτηδείων σπάνιν. ἀπολυθῆν-
αι τὸν ὄχλον ᾔτουν οἱ μαθηταί. ὁ δὲ παρατιθέναι αὐτοῖς παρ-
εκελεύετο τράπεζαν. οἱ δὲ μὴ συνιέντες, ἀλλὰ καὶ διαποροῦντες ὡς
περὶ πράγματος ἀμηχάνου. ἦσαν γὰρ ὡσεὶ πεντακισχίλιοι χωρὶς
γυναικῶν καὶ παιδίων, ἤκουον πάλιν λέγοντος. "πόσους ἄρτους ἔχετε.
οἱ δὲ ἔλεγον ὅτι πέντε καὶ δύο ἰχθύας. "ὁ δὲ λαβὼν τοὺς
"τε ἄρτους καὶ τοὺς ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλό
"γησεν. εἰκότως. ἐπειδὴ γὰρ κατὰ τὴν ἔρημον τὸ μάννα παρ-
χάδος αχοντο τοῖς υἱοῖς ἰσραήλ, ἐτόλμησαν εἰπεῖν. μὴ τε ἄρτον δύ-
ναται δοῦναι, ἵνα μὴ δόξῃ ἐπὶ τοῦτο χωρεῖν αὐτός, ὡς ἂν
μείζονα τοῦ θεοῦ ποιῶν ἑαυτόν, τῶν ἰουδαίων πολλὰς κατ' αὐ
τοῦ

αὐτοῦ πλέκειν ἀφορμὰς ἐπιχειρούντων, πρὸ τοῦ ποιῆσαι ἐπὶ
τὸν πατέρα ἀνήνεγκε τὸ γινόμενον. ἐχορτάσθησαν οὖν ἅπαντες
καὶ τοσαύτην γενέσθαι κλασμάτων περισσείαν παρεσκεύασεν
ὡς δώδεκα πληρωθῆναι κοφίνους· ἐπὶ τῷ ἕκαστον τῶν μαθητῶν, ἐπὶ
τῶν ὤμων ἀράμενον, μείζονα λαβεῖν τοῦ γενομένου τὴν αἴσθησιν.
ἢ ὥστε φανῆναι, περιουσίᾳ δυνάμεως ταῦτα ποιεῖν, οὐ διὰ τὴν
ἑτέρων χρείαν, τὸ δύνασθαι λαμβάνοντα· οἷον Μωσῆς ἐδίδου τὸ
μάννα· ἀλλὰ κατὰ τὴν χρείαν μόνον· ἄχρηστον γὰρ αὐτοῖς συ-
λλεγεῖν τὸ πλέον ἐγίνετο· ἐπέλαβον τότε τῆς γῆς τῶν καρπῶν,
καὶ τὸ μάννα κατεφέρετο οὐκέτι. ὁμοίως δὲ Ἠλίας ἐποίησεν.
ἵνα οὖν φανῇ τὸ διάφορον, πολλὴν περιουσίαν ἐποιήσατο. ὥστε
καὶ χορτασθέντας τῶν περιλειφθέντων θαυμάζειν τὸ πλῆθος.
τοῖς δὲ οὖσι χρῆται κατὰ τὸν ἄνω προσήκοντα τρόπον· εὐερ-
γετῶν ἅμα τοὺς εἰς τοῦτο ὑπηρετοῦντας. εἶτα φησὶν ὅτι
ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς
τὸ πέραν πρὸς Βηθσαϊδά, ἐπὶ τῷ πρότερον ἀπολῦσαι τὰ πλήθη.
ἠνάγκασε δὲ αὐτοὺς οὐκ ἀνεχομένους ἀποστῆναι ῥαδίως· τοῦτο
μὲν διὰ τὴν διάθεσιν, τοῦτο δὲ καὶ ἀποροῦντας, ὅπως ἂν ἔλθοι πρὸς
αὐτοὺς οὐκ εἰδότας· ὅτι τούτου μάλιστα ἕνεκεν ὁ κύριος ἐκέλευσεν
αὐτοῖς ἀπελθεῖν, ἵνα καὶ ἐπὶ τῶν ὑδάτων βαδίζοντα θεασάμενοι
μειζόνως μάθωσι τοῦ παρόντος τὸ μέγεθος. ἀπολύσας οὖν
τοὺς ὄχλους ἐπὶ τῷ εὐλογεῖσθαι προσιόντας, τοὺς δὲ ἐπὶ θερ-
απείᾳ τινί. ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι διὰ ἄνθρωπος εἰκός, «
καὶ ἡμᾶς διδάσκων ἔχεσθαι τοῦ ἔργου τῆς προσευχῆς, καὶ βαθυτέ «

,, ρας ἤδη γενομένης τῆς ἑσπέρας αὐτὸς μὲν ἦν ἐκεῖ μόνος. τὸ δὲ
,, πλοῖον τῶν μαθητῶν μέσον ἤδη τῆς θαλάσσης ἦν, προσωτέρω χω-
,, ρεῖν ἀπὸ τῶν ἀνέμων ἐναντία πνεόντων κωλυόμενον." συν-
τελεῖ δὲ καὶ τοῦτο εἰς μείζονα τοῦ θαύματος ἀπόδειξιν. ὅσον
καὶ τῶν ἀνέμων ἐναντία πνεόντων καὶ τῶν κυμάτων κατὰ
τοὺς ἀνέμους ἐγειρομένων, ἐπὶ τῶν ὑδάτων ἔμελλε βαδίζειν.
"τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπα-
,, τῶν ἐπὶ τῆς θαλάσσης." τετάρτην δὲ λέγει τὴν μετὰ τὴν ἐνά-
την ὥραν, ἤτοι τὴν δεκάτην καὶ τὴν μετ' ἐκείνην. ὁ γὰρ φυ-
λακὰς ἡ θεία γραφὴ λέγει τῆς νυκτὸς εἰς τρεῖς ὥρας ἑκάστην
διαιροῦσα φυλακήν. καὶ τάχα πρώτη φυλακὴ κατὰ τὸν τῆς ἀν-
αγωγῆς λόγον, μετὰ τοῦ κατακλυσμοῦ δευτέρα μέχρι Μω-
σέως τρίτη μέχρι τῆς παρουσίας, τετάρτη ἐν ᾗ ἐλθὼν τὸ
πρωῒ ἐφίσταται ὁ Ἰησοῦς τοῖς μαθητευομένοις αὐτοῦ." καὶ
,, ἰδόντες αὐτὸν οἱ μαθηταὶ περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἐκ-
,, πλαγέντες ἐπὶ τῇ θέᾳ, ὡς φάντασμα εἶναι νομίσαντες τὸ φαι-
,, νόμενον ἀνέκραξαν. ἀνακραξάντων δὲ αὐτῶν φησὶ πρὸς αὐτούς.
,, θαρσεῖτε· ἐγώ εἰμι· μὴ φοβεῖσθε." καὶ ὅσον μὲν ἀπὸ τῆς φω-
νῆς, ἔλυεν αὐτοῦ ὁ ἀγών. τὸ δὲ παράδοξον τοῦ φαινομένου
ἀμφιβάλλειν ἔτι παρεσκεύαζεν αὐτούς, ὥστε τὸν μὲν Πέτρον τοῦ-
το μὲν ἐπὶ τῷ μαθεῖν ἀκριβῶς ὅτι μὴ φαντασία τὸ γινόμε-
νον, τοῦτο δὲ μεταλαβεῖν τῶν αὐτῶν ἀπὸ πολλῆς ἐπιθυμήσαν-
τα τῆς θερμότητος, εἰπεῖν πρὸς τὸν Ἰησοῦν. κύριε εἰ σὺ εἶ
κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. προσέταξε τε αὐ-
τῷ τοῦτο ποιῆσαι. καὶ κατελθὼν ἀπὸ τοῦ πλοίου, πρότερον
μὲν ἐβάδιζεν ἐπὶ τῶν ὑδάτων ἀσφαλῶς. διδάξαι δὲ αὐτὸν ὁ
κύριος βουληθεὶς ὅτι τῇ αὐτοῦ δυνάμει τοῦτο δέδυνηται, καὶ

καὶ μᾶλλον

καὶ μᾶλλον ἐχρῆν ἄνευ τῆς πείρας πιστεῦσαι. συνεχώρησεν αὐτῷ
βραχύ τι καὶ κατενεχθῆναι ἐπὶ τῶν ὑδάτων, ὀνειδίσας αὐτῷ τὴν
ὀλιγοπιστίαν, εἶτα ἐπιβαίνει λοιπὸν τοῦ πλοίου ὁ Ἰησοῦς ἐπαγόμε-
νος τὸν Πέτρον. καὶ ἐπαύσατο μὲν ὁ ἄνεμος, δεικνὺς τῆς κιν-
ήσεως τὴν αἰτίαν τοῦτον ἕνεκεν γενομένης, ἐπὶ τῷ αὐξηθῆναι
τὸ θαῦμα. οὐκ ἐπέταξε δὲ ὁ σωτὴρ τοῖς ἀνέμοις παύσασθαι,
ἀλλ' αὐτὸς ἐπελάβετο αὐτοῦ, ὅτι τῆς ἐκείνου πίστεως ἔδει. καὶ
δεικνὺς ὅτι οὐχ ἡ τοῦ ἀνέμου ἐμβολή, ἀλλ' ἡ ἐκείνου ὀλιγοπι-
στία τὴν περιτροπὴν εἰργάζετο, φησί, τί ἐδίστασας ὀλιγόπιστε.
εἰ γὰρ μὴ ἠπίστησε, καὶ πρὸς ἄνεμον ἂν ἔστη ῥᾳδίως. διὰ τοῦτό γε ἐπι-
λαβόμενος αὐτοῦ, τὸν ἄνεμον εἴα πνεῖν, δηλῶν ὅτι οὐδὲν ἐκεῖ-
νος παραβλάπτει, ὅταν ἡ πίστις ᾖ πεπηγυῖα. ἐπιβάντες δὲ τοῦ
πλοίου, τότε ἐπαύσατο. εὔδηλον ὅτι οὐ δι' ἐπίδειξιν ἡ τῶν
ὑδάτων τοῦ σωτῆρος ἐγένετο βάδισις, ἀλλὰ πρὸς ὠφέλειαν
τῶν μαθητῶν. λίαν γὰρ ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο
καὶ ἐθαύμαζον. οὐ γὰρ συνῆκαν ἐπὶ τῷ ἄρτῳ, ἦν γὰρ ἡ
καρδία αὐτῶν πεπωρωμένη. καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρι-
σαῖοι καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων.
βουλόμενος ὁ εὐαγγελιστὴς τῶν μαθητῶν κατηγορίαν εἰπεῖν,
ἣν ἐποιοῦντο γραμματεῖς τε καὶ Φαρισαῖοι προσιόντες τῷ σωτ-
ῆρι, διὰ μέσον ἐδίδαξε τίς ἡ τῶν πρεσβυτέρων παράδοσις ἦν,
καὶ οὕτως ἐπιφέρει κἀκείνην. οὐχ ὅτι δὲ μὴ νίπτεσθαι πάντως
ἐσπούδαζον οἱ μαθηταί, τοῦτό φησιν, ἀλλ' ὅτι τοῦ κυρίου διδά-
ξαντος αὐτοὺς ἅπαντας ὡς ἔτυχε πράττειν τὰ πρὸς τὴν χρε-
ίαν συντελοῦντα τοῦ σώματος, μόνης δὲ ἐπιμελεῖσθαι σφόδρα τῆς

ἄρτων· θεασάμενοι οἱ Φαρισαῖοι τοῦ νίπτεσθαι οὐ ποιουμένους
φροντίδα κατὰ τὸν τοῦ ἐσθίειν καιρὸν ὥσπερ αὐτοῖς ἔθος ἦν··
τοῦτο ἐνεκάλει. ὁ δὲ κύριος ἐπειδὴ ἐνεκάλουν τοὺς μαθητὰς οὐκ
ἐπὶ παραβάσει νόμου τοῦ νόμου, ἀλλὰ περὶ παραδόσεως πρεσβυ-
τέρων, ἐλέγχων αὐτούς, ἐμβριθέστερον ὡς ἐν προσχήματι εὐλαβείας
τὴν ἀτοπίαν ἐπιτηδεύοντας, ἐπιφέρει καὶ Ἡσαΐου τοῦ προφήτου
ῥῆσιν ὡς περὶ αὐτῶν εἰρημένην· ὥσπερ γὰρ ἐκεῖνοι φησὶ περὶ
ὧν ὁ λόγος· "ἄκροις χείλεσι τιμῶσι τὸν θεὸν πόρρω δὲ αὐτοῦ
" ταῖς διανοίαις ἀπέχουσι, μάτην τὸ εἰς αὐτὸν σέβας φυλάττειν
" ἐπαγγελλόμενοι, προτιμῶντες διδασκαλίας ἀνθρώπων, οὕτω καὶ
" ὑμεῖς τὰ ὅμοια δρῶντες". τὸν τοῦ θεοῦ παραβαίνετε νόμον· καὶ
τὸν ἐμφανῆ κοσμοῦντες ἄνθρωπον τὸν ἐντὸς ἀκόσμητον καταλιμ-
πάνετε, καὶ τοῖς ἀλήθειαν ἀσκοῦσι ἐγκαλεῖτε οἱ τὸ σχῆμα μετα-
διώκοντες". ἵνα τοίνυν ὡς εὐσέβειαν μὴ φυλάττοντας διελέγξῃ
ἐπερειδομένους τῇ τῶν πρεσβυτέρων παραδόσει, τὴν παρανομίαν
προστίθησι, τὴν διὰ παραδόσεως τῶν πρεσβυτέρων γενομένην. γρα-
μμα θεῖον ἀντιτιθεὶς ἀγράφῳ παραδόσει ἀνθρώπων. "Μωσῆς
γὰρ εἶπε φησὶ τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, καὶ
ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. τοιαύτ-
ης δὲ οὔσης τῆς νομοθεσίας, καὶ τηλικαύτης οὔσης ἀπειλῆς ἐπὶ
τῇ παραβάσει, προχείρως ὑμεῖς φησὶ παραβαίνετε τὸ θεῖον πρ-
όσταγμα, ταῖς τῶν διδασκάλων ἑπόμενοι παραδόσεσιν. ὥστε εἴ
τις ἐπ' ἀτιμίᾳ γονέων θυσίαν ὑπόσχοιτο· λέγων θεῷ ποιήσειν
δῶρα καὶ θυσίας ἃ πατρὶ παρέξειν ὀφείλει τούτῳ λέγετε μηκ-
έτι μηδὲ ἐξεῖναι τιμῆσαι τὸν πατέρα· ὅπερ ἐστὶν ἀκύρωσις τοῦ νό-
" μου διὰ τὴν παράδοσιν. εἶτα προσκαλεσάμενος τὸν ὄχλον

ἔλεγεν αὐτοῖς ὅτι οὐδέν ἐστι ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμε-
νον εἰς αὐτὸν ὃ δύναται κοινῶσαι. ὅρα δὲ ὅτι τοῦ νόμου σω-
ματικὰς ἀκαθαρσίας εἰδότος, καὶ ταύτης ἀπαγορεύοντος, ὁ κύρ-
ιος δοκεῖ τοὐναντίον εἰσηγεῖσθαι, ὡς οὐδεμιᾶς οὔσης ἀκαθαρσί-
ας ἐν ἀνθρώπῳ σωματικῆς. τὰ μὲν γὰρ τοῦ νόμου πρὸς τὸν
ἔξω μᾶλλον ἄνθρωπον ἀφεώρα· τὰ δὲ τοῦ κυρίου πρὸς τὸν ἔν-
δον. ἐπειδὴ καὶ παρόντος ἤδη τοῦ καιροῦ ἐν ᾧ πέρας ἔμελλεν
ἐπιθήσειν τοῖς σωματικοῖς ὁ Χριστοῦ σταυρός, ἵνα ὡς ἤδη σῶ-
μα ἀποθέμενοι καὶ πνεῦμα γεγονότες, οὕτω διανοῶνται οἱ πιστεύ-
οντες τὸν οὖν οὕτως φησὶν ἄνθρωπον, οὐδὲν βλάπτει μίασμα
σωματικόν, ἀλλ' ὅσα ἐκ καρδίας λαλεῖται, ταῦτα μιαίνει. εἶ-
τα ἐπιφέρει ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω μὴ σαφῶς
εἰρηκὼς τίνα τὰ ἐκπορευόμενα. νοήσαντες δὲ οἱ μαθηταὶ ὡς ἄλ-
λο τι βαθύτερον αἰνίττεται ὁ λόγος. ὅτε ἦλθεν εἰς οἶκον ἀπὸ
τοῦ ὄχλου, ἐπηρώτησαν αὐτὸν περὶ τῆς παραβολῆς. παραβο-
λὴν τὸν ἀσαφῆ λόγον ὀνομάσαντες. ὁ δέ φησι πρὸς αὐτοὺς
σαφέστερον, οὐδὲν τῶν εἰσιόντων ἀκαθάρτους τοὺς ἀνθρώπους
ποιεῖ, κακία δὲ μόνη ἐξιοῦσα, καὶ τὰ ταύτης ἔκγονα πάθη.
καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος
καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελε γνῶναι καὶ οὐκ ἠδυνήθη
μαθεῖν. μεταβαίνει ὁ κύριος ἐς τοὺς τῶν Χαναναίων τόπους.
ἐκείνων γὰρ ἦν ἡ Τύρος καὶ Σιδών. γυνὴ δέ τις τῶν ἐγχωρίων
θυγατρὸς οὔσης αὐτῇ χαλεπῶς ὑπὸ δαιμόνων ἐνοχλουμένης προ-
σῆλθεν αὐτῷ τῆς θυγατρὸς αἰτοῦσα τὴν ἴασιν. ὁ δὲ κύριος τὴν

τὴν πίστιν εἰδὼς τῆς γυναικὸς καὶ ἐπειδήπερ ἀλλόφυλος ἦν ἀνε-
βάλλετο τῷ δοκεῖν τὴν θεραπείαν· ὁμοῦ μὲν ἰουδαίοις ἐνδεικνύ-
μενος, τὸ μὴ ἐπίσης αὐτοῖς τι καὶ τοῖς ἀλλοτρίοις τὴν θερα-
πείαν χαρίζεσθαι· ὁμοῦ δὲ καὶ τῆς γυναικὸς ἅπασι κατα-
φανῆ τὴν πίστιν ἐργαζόμενος ἐπὶ τῷ μειζόνως φανῆναι τῶν
ἰουδαίων τὴν ἀπιστίαν, οὔπω γὰρ τῆς εἰς ἀλλοφύλους ἀλογίας
πάρεστιν ὁ καιρός, διὰ τὸ μήπω τὸν ἰσραὴλ τελείαν ἐξεργάσα-
σθαι τὴν τοῦ ἀγαθοῦ παραίτησιν· ἦλθεν οὖν οὐχ ὡς πρὸς οἰκ-
είους οἷς μηδέν ἐστι κοινὸν πρὸς τοὺς πατέρας πρὸς οὓς ἡ ἐπαγγε-
λία γεγένηται· διὸ οὐδὲ τὴν παρουσίαν ἐπιφανῆ τυρίων καὶ σιδω-
νίων πεποίηται· τοὐναντίον δὲ καὶ λανθάνειν ἐπείγεται, ἵνα μὴ δόξῃ
πρὸ καιροῦ ἐπιχωριάζειν τοῖς ἔθνεσι· καὶ ταῦτα προσκαλεῖσθαι εἰς
πίστιν· τοῦτο γὰρ καιρὸν οὐκ εἶχε· μετὰ τὸν σταυρὸν καὶ τὴν ἐπιβολὴν
δηλονότι τοῦ ἰσραὴλ οὐ μὴν ἠδύνηθη τούτους τελείως μαθεῖν νικῶν-
τας τῇ πίστει τὸν ἰσραήλ, ἵνα καὶ γνῶσιν οἱ μαθηταί, ὅτι τοῖς
ἔθνεσιν ἀνέῳξε θύραν σωτηρίας· ἀναβάλλεται δὲ τέως τούτους ἐκ-
ὼν διὰ τὴν οἰκονομίαν· πρὸς τοῦτο τελέως ἄγαν ἀποκρινομένου τοῦ
κυρίου τῇ γυναικὶ οὐ μόνον ἀπέσχε τοῦ βαρέως ἐνεγκεῖν, ἀλλὰ καὶ
ἐπεχύρωσεν αὐτοῦ τὴν φωνήν, καὶ μετὰ συνέσεως ἀλόγως τὴν ἴασιν
„ ᾐτήσατο. Ναὶ γάρ φησι κύριε καὶ τὰ κυνάρια ὑποκάτω τῆς τρα-
„ πέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων." τὸ μὲν γὰρ ἐλέσθαι καὶ
ἐν κυνὸς τάξει καταλογισθῆναι τῷ κυρίῳ εὐλαβείας ἦν· τὸ δὲ οἰηθ-
ῆναι ὅτι καὶ τὸ βραχύτατον αὐτοῦ τῆς δυνάμεως· τοῦτο γὰρ ψιχία
ὀνομάζει ἱκανὸν τῆς θυγατρὸς αὐτῆς παρασχεῖν τὴν ἴασιν, πίστεως
ὑπερβαλλούσης· τί γάρ φησιν, ὅτι χάριν ἔχω καὶ ἐν κυνὸς τάξει εἶ-
ναι σοι· τέως γὰρ οὐκ ἀλλοτρίας ἀλλὰ τῆς οἰκείας, ἀπὸ τῆς τρα-
πέζης ἐσθίουσα τῆς δεσποτικῆς εἰ καὶ μὴ τὸν ἄρτον ἀλλὰ τῶν ψιχ-
ίων.

ψιχίων. τέκνα μὲν οὖν φησὶ τοὺς Ἰουδαίους· κύνας δὲ τοὺς ἐθνικ-
ούς· ἄρτον δὲ λέγει τὰς τῶν θαυμάτων καὶ ἰάσεων εὐεργεσίας· ψι-
χίας δὲ τὸ βραχύτατον τῆς δυνάμεως αὐτοῦ. δίδωσιν οὖν αὐτῇ πλόγοι
οὐχ ὡς ἐλλιποῦς οὔσης τῆς δυνάμεως, εἰ καὶ ἐκείνην εὐεργετήσει.
ἀλλ' ὡς διῃρημένων Ἑβραίων τε καὶ ἐθνῶν καὶ κοινωνίαν οὐκ ἐχόν-
των· ὅθεν εἰκότως ἐργάζεσθαι πάντως ἐκείνους τὴν τούτων ἀποβολ-
ὴν προεδείκνυεν. ὁ μὲν οὖν Ματθαῖος τὸ τῆς πίστεως ἐπεσημήνατο
εἰπών. ὦ γύναι μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις.
ὁ δὲ Μάρκος τοῦ λόγου τὴν ἀρετὴν εἰπών. διὰ τοῦτον τὸν λόγον
ὕπαγε, ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. καὶ προσ-
ήνεγκαν αὐτῷ κωφὸν μογιλάλον. καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ
τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα
αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ· καὶ ἀναβλέψ-
ας εἰς τὸν οὐρανὸν ἐστέναξε καὶ λέγει αὐτῷ ἐφφαθά, ὅ ἐστι δια-
νοίχθητι. κατ' ἰδίαν τὸν προσενεχθέντα αὐτῷ κωφὸν καὶ μογι-
λάλον, λ" ὅσον διασπᾶσαι τῶν ὄχλων, ἵνα μὴ δόξῃ ἐπιδεικτικῶς
ἐπιτελεῖν τὴν θεοσημείαν. καὶ παιδεύων ἡμᾶς τὸ ἄτυφον ἐπιτηδεύ-
ειν καὶ ἀκόμπαστον. οὐδεὶς γὰρ οὕτω ποιεῖ τὰ σημεῖα ὡς τα-
πεινοφροσύνῃ κοσμούμενος καὶ τὸ μέτριον μεταδιώκων τοῦ ἤθ-
ους. ἔβαλε δὲ τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα. δυνάμενος
καὶ λόγῳ ἐπιτελέσαι τὸ θαῦμα. καὶ πτύσας ἥψατο τῆς γλ-
ώσσης αὐτοῦ. ὅπερ καὶ ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ ἐποίησε
δεικνὺς ὡς πλουτεῖ τὴν τῆς θείας θεότητος ἐνέργειαν· καὶ τὸ
ἑνωθὲν αὐτῷ σῶμα. ἐπειδὴ γὰρ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν

πολλὰ τῇ φύσει τῆς ἀνθρωπότητος ἐπισυνέβη πάθη καὶ μέλλον
ἐστὶ ὅτε πήρωσις δηλοῦσα εἰς ἀρρωστίαν ποίαν ἀρρωστίαν διὰ τῆς
ἁμαρτίας ἡ τοῦ ἀνθρώπου κατενήνεκται φύσις· εἰσελθὼν ὁ
Χριστὸς καὶ τελείως ταύτην ἐν ἑαυτῷ ἀποδείξας, καὶ οἵαν ἐξ
ἀρχῆς αὐτὸς κατεσκεύασε, δι' αὐτῆς τὰ τῶν ὁμοουσίων νοσή-
ματα ἐθεράπευσε· διὰ τοῦτο, δακτύλῳ μὲν τὰ ὦτα διήνοιγε·
πτύσματι δὲ ἀπεδίδου τῇ γλώττῃ τὸ φθέγγεσθαι· εἶτα ἀναβλέ-
ψας εἰς τὸν οὐρανὸν ἐστέναξεν, ἅμα τε τῷ πατρὶ τῶν γινομέ-
νων ὑπ' αὐτοῦ τὰς αἰτίας ἀνατιθεὶς, καὶ τὴν τοῦ ἀνθρώπου φύ-
σιν ἐλεῶν, ὁρῶν εἰς ποίαν ταπείνωσιν κατενήνεγκται· καὶ λέ-
γει αὐτῷ ἐφφαθά, τουτέστι διανοίχθητι· καὶ ἅμα τῷ λόγῳ
εἰς ἔργον ἐχώρει τὸ πρᾶγμα· ἤκουέ τε καὶ ἐλάλει ὀρθῶς καὶ
διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσι· πάλιν παιδεύων ἡμᾶς κἀνταῦ-
θα τὸ μέτριον παρηγγύησε τοῖς εὐεργετηθεῖσιν ἀποκρύπτειν τὸ
θαῦμα καὶ ἵνα μὴ πρὸ καιροῦ δόξῃ ὑποκαίειν καὶ διεγείρειν ὑπὸ
φθόνου, τῶν ἰουδαίων μιαιφονίαν· εἰ καὶ τὰ μάλιστα ᾔδει αὐτοὺς
μὴ σιωπῶντας, ἀλλὰ κηρύττοντας τὸ παράδοξον· "καὶ ἀφεὶς αὐ-
τοὺς ἐμβὰς πάλιν εἰς πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν καὶ ἐπελά-
θοντο λαβεῖν ἄρτους. ταῦτά φησι κατὰ βραχὺ προσβιβάζων τοὺς
μαθητὰς εἰς αἴσθησίν τε καὶ πίστιν· εἰ καὶ ὁ μὲν Ματθαῖος λέγει ἀπὸ
τῆς ζύμης τῶν φαρισαίων καὶ ἡρωδιανῶν· Λουκᾶς δὲ μόνον φα-
ρισαίων οὐδεμία ἐν τούτῳ διαφορά· οἱ γὰρ δύο τοὺς προηγουμέ-
νους εἶπον φαρισαίους· οἱ δὲ δύο ἐμέρισαν τοὺς δευτέρους εἰ-
πόντες μόνον· εἰκὸς γὰρ ἦν τὸν Μάρκον, παραλείψαντος τοῦ Μα-
τθαίου τοὺς ἡρωδιανοὺς εἰς ἀναπλήρωσιν τῆς διηγήσεως προσθεῖ-
ναι τούτους· "Καὶ ἔρχεται εἰς βηθσαϊδὰ καὶ φέρουσιν αὐ-
τῷ τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται· πτύσας

καὶ τὰς

καὶ τὰς χεῖρας ἐπιτίθησι τῷ τυφλῷ". δεῖξαι βουλόμενος ὡς λό-
γος θεῖος καὶ πρᾶξις ἑπομένη τῷ λόγῳ· ἐκτελεῖ τὰ παράδοξα.
ἡ γὰρ χεὶρ τῆς πράξεως σύμβολον, πτύσμα δὲ τοῦ ἐκπορευομέ-
νου διὰ στόματος λόγου, "ἐπηρώτα δὲ αὐτὸν εἴ τι βλέπει" ἐπὶ
τῶν ἄλλων μὴ ποιήσας αὐτὸ· σημαίνων ὡς ἀτελὴς τῷ προσά-
γοντι ἡ πίστις καὶ αὐτοῦ τοῦ πεπηρωμένου τὰς ὄψεις, ἐπειδὴ
δὲ τὸ τῆς πίστεως αὐτοῦ διήλεγξεν ἀτελές. ἀμυδρῶς γὰρ ἔφασ-
κε τοὺς ἀνθρώπους ὁρᾶν· "πάλιν ἐπιτίθει τὰς χεῖρας ἐπὶ τοὺς
ὀφθαλμοὺς ἐκ τῆς πρότερον αὐτῷ γεγενημένης αἰσθήσεως εἰς
ἐπίδοσιν πίστεως ἀγαγών, καὶ οὕτως αὐτὸν ποιήσας τελέως ἀνα-
βλέψαι ἐπήγαγε τὸ εἰρημένον· ἐνέβλεψε γὰρ τηλαυγῶς καὶ τῷ
τῆς ψυχῆς ὄμματι· αἰσθητῶς γὰρ καὶ νοητῶς αὐτὸν ἰάσατο· ἀνέ-
βλεψέ τε τηλαυγῶς καὶ τοῖς τῆς διανοίας ὄμμασι. "καὶ
ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Και-
σαρείας τῆς Φιλίππου καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς
αὐτοῦ λέγων αὐτοῖς, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι"·
εἰδὼς ἐρωτᾷ τὴν διὰ τῆς ἑπομένης συγκρίσεως ὠφέλειαν κατ-
ασκευάζων· καὶ τῶν ἄλλων τῶν δοξαζόντων ὅτι δήποτε περὶ αὐ-
τοῦ κάλλιον ποιῶν δοξάζειν τοὺς μαθητάς· Πέτρῳ μὲν ὃ καλ-
ῶς δοξάζει βεβαιῶν· τοῖς δὲ ἄλλοις τὴν ἐκ τῆς ἰδίας μαρτυρίας
ἐντιθεὶς πίστιν· πάντας γὰρ ἐκίνει τὸ κατὰ Χριστὸν παράδοξον,
εἰ καὶ πρὸς τὴν πίστιν οὐκ ἔφθασαν· ἄνθρωπον μὲν οὖν ἠναγκά-
ζοντο νομίζειν διὰ τὸ ὁρώμενον τὴν δὲ ἐκ νεκρῶν ἀνάστασιν αὐ-
τῷ προσηθέντες, Ἰωάννην ἢ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν ἡ-
γοῦντο· οὐκ εὐθέως δὲ τὴν αὐτῶν γνώμην ἠρώτησεν, ἀλλὰ τὴν

τῶν πολλῶν, ἵνα εἰπόντες τὴν ἐκείνων, εἶτα ἐρωτηθέντες· „
ὑμεῖς δὲ τίνα με λέγετε". ἀπὸ τοῦ τρόπου τῆς ἐρωτήσεως εἰς
μείζονα γνώμην ἀνενεχθῶσι. διὰ δὴ τοῦτο οὐδὲ ἐν ἀρχῇ τοῦ
κηρύγματος αὐτῶν πυνθάνεται, ἀλλ' ὅτε σημεῖα πολλὰ ἐποίησε
καὶ περὶ πολλῶν αὐτοῖς διελέχθη καὶ ὑψηλῶν, καὶ τῆς αὐτοῦ
θεότητος. δεικνὺς δὲ ὡς σφόδρα βούλεται τὴν οἰκονομίαν ὁμ-
ολογεῖσθαι φησὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. εἶτα ἐπειδὴ εἶπον τὴν
πεπλανημένην τῶν πολλῶν δόξαν τότε ἐπήγαγεν· „ὑμεῖς
δὲ τίνα με λέγετε". μονονουχὶ ἐκκαλούμενος αὐτοὺς διὰ τῆς
δευτέρας ἐπερωτήσεως τοῦ μεῖζόν τι φαντασθῆναι περὶ αὐτοῦ,
καὶ μὴ συμπεσεῖν τοῖς πολλοῖς. τί οὖν ὁ κορυφαῖος τῶν μα-
θητῶν, τὸ στόμα τῶν ἀποστόλων, πάντων ἐρωτηθέντων αὐτὸς
„ ἀποκρίνεται· καὶ φησί· „Σὺ εἶ ὁ Χριστός" τὴν γὰρ ἀκριβεστέ-
ραν περὶ τούτου διήγησιν παρεχώρησεν ὁ παρὼν εὐαγγελιστὴς
τῷ Ματθαίῳ εἰπόντι. αὐτὸς δὲ ἐν ἐπιτομῇ τὸ ἀκριβὲς τῆς
ἱστορίας παρέχει· ἵνα μὴ Πέτρῳ τῷ ἑαυτοῦ χαρίζεσθαι διδασ-
κάλῳ δόξῃ. „ἐπετίμησε δὲ αὐτοῖς φησὶν ὁ σωτὴρ ἵνα
μηδενὶ λέγωσιν". ἢ ὡς Ματθαῖός φησι διεστείλατο. ἐβούλετο
γὰρ ἔτι σκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν· ὥστε σκανδαλιζόντων
ἐπ' ἐμὲ γινομένων τοῦ σταυροῦ καὶ τοῦ πάθους καθαρὰν ἐντυ-
πωθῆναι τῇ διανοίᾳ αὐτῶν τὴν πίστιν. τάχα δὲ καὶ δι' ἄλλο
ἐπετίμησε τοῖς μαθηταῖς ἵνα τότε μηδενὶ εἴπωσιν ὅτι αὐ-
τός ἐστιν Ἰησοῦς ὁ Χριστός. προσήκετο γὰρ αὐτῷ τελειώσαντι
τὴν οἰκονομίαν, πρὸς τῇ ἀναλήψει εἰπεῖν. „πορευθέντες μα-
„ θητεύσατε πάντα τὰ ἔθνη" καὶ οὕτως ἐπιτρέψαι αὐτοῖς κηρύ-
σσειν αὐτόν. εἰ δὲ καὶ ἐν τοῖς ἀνωτέρω τούτοις τοὺς ιβ ἀποστεί-
λας ὁ Ἰησοῦς παρήγγειλεν ἄλλα τέ τινα, καὶ τό, πᾶς ὅστις ὁμολο-
γήσει

ὁμολογήσει ἐν ἐμοὶ καὶ τὰ ἔθνη λέγομεν ὅτι μήποτε τότε οὐδέπω
τὸ Ἰησοῦς ἐφήρμοζε τῷ Χριστῷ. καὶ οὐδέπω ὁ πατὴρ ὁ οὐράνιος τῷ
Πέτρῳ ἦν ἀποκαλύψας ὅτι Χριστὸς ἦν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀν-
θρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ
τῶν ἀρχιερέων, καὶ τῶν γραμματέων, καὶ ἀποκτανθῆναι. Ματθ-
αῖος δὲ ἤρξατο δεικνύειν φησίν· οὐ γὰρ ἁπλῶς διδάσκει ἀλλ' οἱονεὶ
δείκνυσι λογικὴν δεῖξιν τότε μὲν ἀρχομένην, χωρητικοῦ δὲ γενομέ-
νου τελειῶν (?). δείκνυται δὲ διὰ τούτων. φησὶ γὰρ τὰ τῆς οἰκονομ-
ίας μέλλειν, ἢ δεῖ κηρύσσεσθαι τελείως. μετὰ τοῦτο εἶναι Ἰησοῦν
Χριστὸν ἐσταυρωμένον ὑπὸ μαρτύρων δυναμένων (?). πάλιν ὁ Πέτρος θερ-
μὸς ὢν μόνος τολμᾷ περὶ τούτου διαλεχθῆναι. προσλαβόμενος
γάρ φησιν, ἤρξατο ἐπιτιμᾶν αὐτῷ καὶ λέγειν, ἵλεώς σοι κύριε
οὐ μὴ ἔσται σοι τοῦτο. τί ποτε δὲ τοῦτό ἐστιν, ὅτι ἀποκαλύψ-
εως τυχὼν καὶ μακαρισθεὶς οὕτω ταχέως ἐξέπεσε καὶ ἐσφάλη. καὶ
φαμὲν οὐδὲν θαυμαστόν. οὐ δεξάμενον ἐν τούτοις ἀποκάλυψιν τοῦ
παθεῖν, περὶ τοῦ σφαλῆναι ἢ ἀγνοεῖν. ὅτι μὲν γὰρ ὁ Χριστὸς
ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ ἔμαθεν, ὅ,τι ποτὲ δὲ ἐστὶ τὸ μυστήριον τοῦ
σταυροῦ, καὶ τῆς ἀναστάσεως οὐδέπω δῆλον αὐτῷ ἐγένετο. αὐτὸς μέν-
τοι δεικνὺς ὅτι τοσοῦτον ἀπέχει ἄχρι ἐλθεῖν ἐπὶ τὸ πάθος, καὶ
ἐπετίμησε καὶ Σατανᾶν ἐκάλεσε. καὶ οὐκ εἶπεν ~~[illegible]~~ ὁ Σατανᾶς
ἐφθέγξατο διὰ σοῦ. ἀλλ' αὐτὸν εἴρηκε Σατανᾶν. τάχα δὲ διὰ
μὲν τὴν πρόθεσιν αὐτοῦ τὸ ὕπαγε ὀπίσω μου εἶπε, διὰ δὲ
τὴν ἀντικειμένην ἄγνοιαν, τὸ Σατανᾶ ὅ ἐστιν ἀντικείμενε.

ἐπιθυμία γὰρ ἦν τοῦ ἀντικειμένου τοῦ μὴ παθεῖν τὸν χριστὸν
διὰ τοῦτο μετὰ τοσαύτης σφοδρότητος αὐτῷ ἐπετίμησε καὶ τῷ
μὲν σατανᾷ πειράζοντι τὸν ἰησοῦν. οὐκ εἴρηται ὕπαγε ὀπίσω
μου σατανᾶ· ἀλλ' ὕπαγε σατανᾶ· τῷ δὲ πέτρῳ ἁμαρτάνοντι,
καὶ διὰ τοῦτο οὐδέπω ὄντι ὀπίσθεν τοῦ ἰησοῦ λέγεται· ὕπαγε
ὀπίσω μου σατανᾶ, τουτέστιν ἀκολούθει μοι, καὶ τῇ περὶ τοῦ πά-
θους μου ἐξουσίᾳ βουλήσει· μὴ ἀνθίστασο. σὺ μὲν γὰρ νομίζεις ὅτι
ἀνάξιόν μου ἐστὶ τὸ παθεῖν· ἐγὼ δέ σοι λέγω· ὅτι μᾶλλον τὸ
μὴ παθεῖν. τοῦ γοῦν προφήτου λέγοντος, εἰρήνη πολλὴ τοῖς ἀ-
γαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον· ὁ κύρ-
ιος φησί· σκάνδαλον μου εἶ ἀντιδεκτὸς ὢν τοῦ σκανδαλίζεσθαι
ὑπὲρ δὲ παῦλον λέγων. τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ. Καὶ
προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐ-
τοῖς· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ
ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. σὺ μὲν γὰρ
φησὶν ἐπιτιμᾷς βουλομένῳ παθεῖν· ἐγὼ δέ σοι λέγω ὅτι οὐ μόνον
τὸ ἐμὲ κωλύειν καὶ τῷ ἐμῷ πάθει δυσχεραίνειν ἐπιβλαβὲς καὶ
ὀλέθριον· ἀλλ' ὅτι οὐδὲ σωθῆναι δυνήσῃ ἐὰν μὴ καὶ αὐτὸς ἀπο-
θάνῃς, διὰ τοῦτο οὐκ ἐφ' ἑαυτοῦ προάγει τὸν λόγον, ἀλλὰ καὶ
ἐπ' ἐκείνων. τοσοῦτον γάρ φησι τοῦ πράγματος, τοῦτον τὸ
κέρδος· ὅτι καὶ ἐφ' ὑμῶν τὸ μὴ ἀποθανεῖν δεινὸν, τὸ δὲ ἀποθα-
νεῖν ἀγαθόν· οὐκ εἶπε δὲ καὶ μὴ βουλομένους δεῖ τοῦτο ὑμᾶς πα-
θεῖν· ἀλλ' ὅστις θέλει ὀπίσω μου ἐλθεῖν· ἐπὶ γὰρ ἀγαθὰ καλῶ
οὐκ ἐπὶ κακὰ καὶ ἐπαχθῆ ἵνα ἀναγκάσω· ὁ γὰρ βιαζόμενος
ἀποτρέπει· ὁ δὲ ἀφεὶς κύριον τὸν ἀκροατὴν εἶναι, μᾶλλον ἐφ-
έλκεται· τότε δὲ ἀρνεῖται ἑαυτόν τις, ὅταν τοῦ ἰδίου σώματος

ἀφειδῆ, ἵνα καὶ μαστίζωσι καὶ ὁτιοῦν ποιῶσι, μὴ φείδηται· τοῦ-
το γάρ ἐστι φείσασθαι μᾶλλον· ἐπεὶ καὶ οἱ πατέρες τότε φείδον-
ται, ὅταν διδασκάλοις παραδόντες τὰ παιδία κελεύσωσιν αὐτῶν μὴ
φείδεσθαι· οὕτω καὶ ὁ Χριστὸς οὐκ εἶπε μὴ φεισάσθω ἑαυτοῦ, ἀλλ' ἐπ-
ιτεταμένως ἀπαρνησάσθω ἑαυτόν· τουτέστι μηδὲν ἐχέτω κοινὸν πρὸς
αὐτόν· ἀλλ' ἐκδιδότω τοῖς κινδύνοις, καὶ ὡς ἑτέρου πάσχοντος,
οὕτω διακείσθω. τὸ δὲ "καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ" πο-
λλὴν ἐμφαίνει τὴν ὑπερβολήν· καὶ γὰρ πλέον τοῦτο ἐκείνου ἐστί· ἀ-
παρνεῖσθαι γὰρ μέχρι τοσούτου δεῖ μέχρι θανάτου, καὶ θανάτου
ἐπονειδίστου· καὶ ὅτι οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ καὶ διὰ παντὸς τοῦ
βίου τοῦτο ποιεῖν δεῖ, ἐπήγαγε· "καὶ ἀκολουθείτω μοι". ἐπειδὴ γὰρ
ἔστι καὶ πάσχοντα μὴ ἀκολουθεῖν· ὅταν μὴ δι' αὐτόν τις πάθῃ·
ἵνα μὴ νομίσῃς ὅτι ἀρκεῖ τῶν κινδύνων ἡ φύσις, προστίθησι καὶ
τὴν ὑπόθεσιν, ἵνα ταῦτα ποιῶν αὐτῷ ἀκολουθῇς, λαβὼν τοίνυν
τὸν σταυρὸν αὐτοῦ ἀκολουθεῖ Χριστῷ ὁ κατόπιν βαίνων αὐτοῦ· ὁ
συμμορφαζόμενος τῷ θανάτῳ αὐτοῦ, ἀπεκδυσάμενος τῆς ἀρχῆς
καὶ τῆς ἐξουσίας· ἀφ' ὧν πρὶν προσελθεῖν Χριστῷ, ἡμάρτανε πε-
ριπατῶν κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα
τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς
ἀπειθείας, καὶ θριαμβεύσας ἐν τῷ ξύλῳ τῆς ζωῆς· λέγων ὡς Παῦ-
λος, Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χρ-
ιστός· καὶ ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ
Χριστοῦ· δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. διὸ πολ-
λῶν ὄντων ὅμως εἰς μαρτύριον μόνου σταυροῦ ἐμνήσθη. ὃς γὰρ

ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπο-
λέσῃ τὴν ἑαυτοῦ ψυχὴν, ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου οὗτος
σώσει αὐτήν. ὃ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀφειδῶν ὑμῶν ἀλλὰ
καὶ σφόδρα φειδόμενος ταῦτα ἐπιτάττω· καὶ γὰρ ὁ φειδόμενος
τοῦ ἑαυτοῦ υἱοῦ, ἀπόλλυσιν αὐτόν· ὁ δὲ μὴ φειδόμενος σώζει.
δεῖ τοίνυν πρὸς τὸν διηνεκῆ θάνατον ὑμᾶς παρατετάχθαι· εἰ γὰρ
καὶ ἐπὶ τῶν αἰσθητῶν πολέμων ὁ παρατεταγμένος εἰς σφαγὴν, οὗτος
τῶν ἄλλων δοκιμώτερος· καίτοι μετὰ θάνατον οὐκ ἰσχύοντος αὐ-
τὸν ἀναστῆσαι τινος· πολλῷ μᾶλλον ἐπὶ τούτων τῶν πολέμων, ὅτε
καὶ ἀναστάσεως ἐλπίδες τοσαῦται, ὁ προβαλλόμενος εἰς θάνατον
τὴν ἑαυτοῦ ψυχὴν, εὑρίσκει αὐτήν· εἶτα ἐπειδὴ εἶπεν, ὁ θέλων
σῶσαι, ἀπολέσει αὐτὴν, ἐπήγαγεν· ὃς δ' ἂν ἀπολέσῃ· οὗτος σώσει
αὐτὴν· ἵνα μὴ νομίσῃς ἴσην εἶναι τὴν ἀπώλειαν ταύτην κἀκείνην
καὶ τὴν σωτηρίαν· ἵνα οὖν μάθῃς ὅσον τὸ μέσον ταύτης κἀκείνης
ἐπάγει ταῦτα κατασκευάζων· τί γὰρ ὠφελήσει ἄνθρωπος
ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον· καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ· ἢ
τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ. ὁρᾷς γὰρ
πῶς παρὰ τὸ δέον αὐτῆς σωτηρία, ἀπωλείας πάσης χείρων τε καὶ
ἀνίατος· τῷ μηδὲ εἶναι λοιπὸν τὸ ἐξωνούμενον αὐτοῦ. μὴ γάρ
μοι φησὶ τοῦτο λέγε· ὅτι τὴν ψυχὴν αὐτοῦ ἔσωσε κινδύνους διαφυ-
γὼν τοσούτους· εἰ γὰρ μετὰ τῆς ψυχῆς, καὶ τὴν οἰκουμένην ἅπα-
σαν τις κερδήσει· τί τὸ πλέον αὐτῷ ἐκείνης ἀπολλυμένης ποτε·
μὴ γὰρ ἑτέραν ἔχει ψυχὴν ἀντὶ ψυχῆς δοῦναι; χρήματα μὲν γὰρ
ἢ οἰκίαν δύναταί τις ἀνταλλάξασθαι, ἑτέραν ἀντ' ἐκείνων δοὺς,
ψυχὴν δὲ ἀπολλὺς, ἑτέραν ἀντ' ἐκείνης ἀποδοῦναι οὐ δύναται. ἄλ-
λως τε ἀμφίβολος ἡ λέξις· ἢ γὰρ ὁ μὴ φιλόσοφος αὐτοῦ τούτου ἀπό-
λλυσι τὴν ψυχὴν ἐκτὸς τοῦ μακαριότητος· ὁ δὲ καταφρονῶν αὐτ-
ῆς

αὐτῆς ἕως θανάτου, διὰ τὸν κατ' εὐσέβειαν λόγον σώζει αὐτὴν
καὶ ὁ μὴ νοήσας τὴν ἀληθῆ σωτηρίαν κόσμου, ἀπολέσει αὐτήν.
ὅρα οὖν μὴ κατά τινα ἐκδοχὴν ἀκολουθεῖ τό, εἴ τις θέλει τὴν ψυ-
χὴν αὐτοῦ σῶσαι, ἐκεῖνος σώσει αὐτήν· καὶ ἑαυτὴν μὲν τῷ αὐτο-
κινήτῳ ἀπολέσασα ἡ ψυχὴ πρεῖσα ταῖς ἁμαρτίαις, τῶν αὐτῶν
πάλιν εὑρίσκει αὐτὴν ὑπὸ τοῦ λόγου ὑπομνησθεῖσα, ζητῆσαι· πάλιν
δὲ οὐχ ἕνεκεν τοῦ πονηροῦ, ἀλλ' ἕνεκεν τοῦ λόγου καταργοῦσα
αὐτῆς καὶ ἀφανίζουσα τὰ ἐν ἀπωλείᾳ κινήματα· καὶ οὐχ ἔσωσα
ἔχερ ἧ. ἀπολέσασα ἑαυτὴν ἐσχάτην ἀπώλειαν· εὑρίσκει αὐτὴν
ἐν αὐτῷ, ὅτε λέγει· ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ ὁ Χρισ-
τός· ἄλλως δέ, τὸ μὲν εὑρὼν ὡς Ματθαῖος φησίν, ἀνάξεις ἐπὶ
τὴν εἰς τὸν λόγον ἀγωγὴν συναίσθησιν· τὸ δὲ εὑρήσει ἐπὶ τὴν
τελειότητα· τὰ δὲ μεταξὺ τοῦ ἀπολέσει καὶ τοῦ ἀπολέσας,
ἐπὶ τὰ μεταξὺ εἰσαγωγῆς καὶ τελειότητος· ἁπλούστερον δέ, ἐπὶ
μαρτύριον προτρέπει ὁ λόγος, τὰ μὲν πρῶτα ἀναφέρων ἐπὶ
τοὺς ἀρνουμένους, εὑρίσκοντας μὲν τὴν ψυχὴν ὡς πρὸς τὸ παρόν,
ἀπολλύντας δὲ ὡς πρὸς τὸ μέλλον· τὰ δ' ἑξῆς, ἐπὶ τοὺς ἀπολλ-
ύντας μὲν τὸ νῦν ζῆν, τῷ μέχρις αἵματος ἀνθίσασθαι πρὸς τὴν
ἁμαρτίαν, εὑρίσκοντας δὲ ἐν τῷ μέλλοντι αἰῶνι· ἔνθα ἡ ζωὴ
ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· κερδαίνει δὲ κόσμον
καὶ ζημιοῦται τὴν ψυχὴν ᾧ ὁ κόσμος οὐ σταυροῦται, εἰ δὲ μηδὲν
ὠφελεῖται ὁ κόσμον κερδήσας, καὶ ψυχὴν ζημιωθείς, ἡ κυρίως
ὠφέλεια ἐν ψυχῇ μόνῃ, ἡ ἑπομένη ἡ κινουμένη κατ' ἀρετήν· κό-
σμος δὲ νοῦ οὐ πᾶς· οὐ γὰρ κερδαίνει τις οὐρανόν, καὶ τὰ ἐν αὐ-
τῷ ἄστρα· τὸ δὲ ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυ-

χῆς αὐτοῦ; ἤτοι ἀπορητικῶς ἢ ἀποφαντικῶς λέγω. ἄνθρωποι
μὲν οὖν τι δώσει. ὁ δὲ θεὸς τῆς ἡμῶν σωτηρίας ἕνεκεν ἔδωκεν
ἀντάλλαγμα τὸ τίμιον αἷμα χριστοῦ. "ὃς γὰρ ἂν ἐπαισχυν-
θῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι
καὶ ἁμαρτωλῷ· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν
ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων."
οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν πίστει· ἀλλὰ καὶ τὴν διὰ τοῦ στόμα-
τος ὁμολογίαν ἀπαιτεῖ εἰς παρρησίαν πάντας ἀλείφων, καὶ πλείο-
να ἀγάπην καὶ διάθεσιν. διὸ καὶ πρὸς πάντας διαλέγεται γενναίους
κατασκευάζων, ὁ δὲ τοῦτο μαθὼν, οὐ μόνον διδάξει μετὰ παρ-
ρησίας, ἀλλὰ καὶ πείσεται μετὰ προθυμίας αὐτὸν ὁμολογῶν.
μοιχαλὶς δὲ λέγεται γενεὰ, ἡ τὸν θεὸν τὸν ἀληθῆ νυμφίον κατα-
λιποῦσα ψυχή· καὶ μὴ τῇ αὐτοῦ διδασκαλίᾳ κατακολουθοῦσα ἀλλ'
ἑτέροις ἑαυτὴν ὑποσαυρώσασα, καὶ ἀσεβείας σπέρματα δεξαμένη.
δῆλον δὲ ὅτι καὶ ἁμαρτωλός. ὁ τοίνυν ἐπὶ τῶν τοιούτων τὴν ἐ-
μὴν ἀρνούμενος, φησὶ, δεσποτείαν, καὶ ἐπὶ τῷ εὐαγγελικῷ ἐγκα-
λυπτόμενος λόγῳ, ἀξίαν τῆς ἀσεβείας τίσεται τιμωρίαν. ἀκούων ἐν
τῇ δευτέρᾳ καὶ φοβερᾷ παρουσίᾳ, οὐκ οἶδα ὑμᾶς. "Καὶ μεθ'
ἡμέρας ἓξ παραλαμβάνει ὁ ἰησοῦς τὸν Πέτρον, καὶ τὸν ἰάκωβον
καὶ τὸν ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλόν." ἐπ-
ειδὴ πολλὰ περὶ κινδύνων διείλεξεν· καὶ θανάτου, καὶ τοῦ πάθους
αὐτοῦ· καὶ τῆς τῶν μαθητῶν σφαγῆς· καὶ τὰ αὐστηρὰ ἐπέταξεν
ἐκεῖνα· καὶ ταῦτα μὲν ἐν παρόντι βίῳ, καὶ ἐν χερσί, τὰ δὲ ἀγα-
θὰ ἐν ἐλπίσι καὶ προσδοκίαις. βουλόμενος καὶ τὴν ὄψιν ἀκουόντων πληροφο-
ρῆσαι, καὶ δεῖξαι τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη μεθ' ἧς μέλλει πα-

ραγενέσθαι ὡς ἐγχάρουν τῷ αὐτοῦ μαθητῇ· καὶ κατὰ τὸν παρόντα
βίον δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει αὐτήν, ἵνα μήτε ἐπὶ τῷ οἰκ-
είῳ θανάτῳ μήτε ἐπὶ τοῦ δεσπότου λοιπὸν ἀλγῶσι: φησὶ δὲ
“Ἀμὴν [ἀμὴν] λέγω ὑμῖν εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύ-
σωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν
ἐνδ͂.” Καὶ ταῦτα μὲν ἁπλούστερον ἀνάγεται, ἐπὶ τὴν μετὰ
ἓξ ἡμέρας ἄνοδον τῶν τριῶν μαθητῶν, εἰς τὸ ὄρος σὺν τῷ Ἰησοῦ κατ᾽ ἰ-
δίαν. ἰδόντες γὰρ μεταμορφωθέντα Ἰησοῦν, καὶ ὡς δορυφόρους Μωσέα
καὶ Ἠλίαν εἶδον Χριστὸν ἐν βασιλείᾳ καὶ δόξῃ, ἀναγωγικώτερον δὲ ἑστήκασι
περὶ τὸν λόγον, οἱ ~~ἐρεισμένοι~~ ἐρηρεισμένοι τὰς τῆς ψυχῆς βάσεις ὡς
Μωσῆς, ἀκούων παρὰ θεοῦ· σὺ δὲ αὐτὸς ~~στῆθι~~ στῆθι μετ᾽ ἐμοῦ· καὶ οἱ
λέγοντες· ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ,
καὶ ἐπεὶ ἔστιν αὐτῶν διαφορά· οἱ βέλτιον ἑστῶτες τοῦ ἀνθρώποις ἐπιδη-
μήσαντος λόγου, ὄψονται τὸ ἀξίωμα, ὡς τὴν ἐπὶ πᾶσι λόγοις ἀναβα- λλαμ
νοντες ἀρχήν· καὶ λύων [-οντες] τὴν τῶν ἐναντίων πιθανότητα· ζητήσεις δὲ
τίς ὁ μὴ γευόμενος θανάτου, καὶ φήσεις [ἐστὶ] ὁ ἐσθίων τὸν ζῶντα ἄρ-
τον, τὴν σάρκα τοῦ λόγου τὴν ἀληθινὴν τροφήν, καὶ πίνων τὸ αἷμα τοῦ
λόγου, τὸ ἀληθινὸν ποτόν, οὐ γεύσεται θανάτου, ὁ ἐσθίων ἀπὸ τοῦ δρά-
κοντος, περὶ οὗ γέγραπται· ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν·
καὶ ὁ ἐσθίων ἐν μόνῃ γεύσει· εἰσὶ δ᾽ οἳ ἐμφοροῦνται θανάτου· ἔτι
οὐ γεύεται δὲ θανάτου, ὁ ἐσθίων ἀπὸ τοῦ ξύλου τῆς ζωῆς· γεύε-
ται δὲ θανάτου ὁ ἐσθίων ἀπὸ τοῦ ξύλου ἐφ᾽ ᾧ εἴρηται, ᾗ δ᾽ ἂν ἡμ-
έρᾳ φάγητε ἀπ᾽ αὐτοῦ θανάτῳ ἀποθανεῖσθε· ἔτι γεύονται θανάτου
οἱ σπανίως ἁμαρτάνοντες· ἔτι πᾶν λογικὸν δεῖον ἔχει δογμάτων

ἀστείων ἢ φαύλων τρέφεται νεκρῷ ἢ ζῶντι ἀρτίῳ. ὅρα δὲ εἰ ἔλαττον
κακὸν τὸ ἰδεῖν θάνατον· οὐ μεῖζον τὸ γεύσασθαι αὐτοῦ· οὐ χεῖρον τὸ
ἀκολουθεῖν θανάτον τινί. οὐ μεῖζον τὸ ἀρθῆναι ὑπὸ θανάτου. μυστικ-
ῶς δὲ ζωὴ ὁ χριστὸς· θάνατος δὲ ὁ διάβολος. ”Καταβαινόντων δὲ
αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ
εἶδον.” οὐχ ἁπλῶς κελεύει σιγᾶν ἀλλὰ πάλιν τοῦ πάθους ἀναμιμ-
νήσκων. καὶ μονονουχὶ τὴν αἰτίαν λέγων δι' ἣν καὶ σιγᾶν ἐκέλευ-
σεν. οὐ γὰρ διὰ παντὸς ἐκέλευσε μηδενὶ εἰπεῖν, ἀλλ' ἕως ἀναστῇ
ἐκ νεκρῶν. καὶ τὸ δυσχερὲς σιγήσας, τὸ χριστὸν ἐμφαίνει μόνον.
” ἐκεῖνοι δὲ τὸ περὶ τῆς ἀναστάσεως αὐτοῦ μὴ συνιέντες μυστήριον· ”τὸν
” μὲν λόγον ἐκράτησαν, πρὸς ἑαυτοὺς δὲ συνεζήτουν τί ἐστι τὸ ἐκ νεκρῶν
” ἀναστῆναι. ἐπηρώτων δὲ αὐτὸν λέγοντες, ὅτι οἱ γραμματεῖς λέγου-
” σιν, ἠλίαν δεῖ ἐλθεῖν πρῶτον.” τοῦτο δὲ οὐκ ἀπὸ γραφῆς ᾔδεισαν
ἀλλ' ἐκεῖνοι αὐτοῖς διεσάφουν, καὶ περιεφέρετο ὁ λόγος οὗτος ἐν τῷ
δήμῳ ἀπείρῳ δήμῳ, οὐχ ὡς ἐχρῆν δὲ παρ' ἐκείνων ἑρμηνευόμενος. τὸ
οὖν βούλημα τῆς ἐπερωτήσεως τῶν μαθητῶν τοιοῦτον εἶναί μοι φα-
ίνεται. ἡμεῖς μὲν τὸν ἠλίαν σὺν σοὶ εἴδομεν, καὶ πρότερον σε ἑωρακό-
τες αὐτοῦ. οἱ δὲ γραμματεῖς ἠλίαν πρῶτον συνδιδάσκουσιν ἔρχεσθαι.
πυνθανόμεθα οὖν εἰ ψεύδονται. τί οὖν ὁ χριστός; ἠλίας μὲν φησὶν
ἔρχεται τότε, τουτέστι πρὸ τῆς δευτέρας παρουσίας καὶ ἀποκαταστή-
σει πάντα. δύο γὰρ λέγουσιν αἱ γραφαὶ τοῦ χριστοῦ παρουσίας,
ταύτην τὴν γεγενημένην, καὶ τὴν μέλλουσαν, τῆς μέντοι δευ-
τέρας παρουσίας, πρόδρομον λέγουσι τὸν ἠλίαν ἔσεσθαι, τῆς γὰρ
προτέρας ἰωάννης ἐγένετο, ὃν καὶ ἠλίαν ὁ χριστὸς καλεῖ λέγων.
καὶ νῦν ἐλήλυθεν ἠλίας, οὐχ ἐπειδὴ ἠλίας ἦν, ἀλλ' ἐπειδὴ τὴν δια-
κονίαν ἐπλήρου τοῦ ἠλία, ὥσπερ γὰρ ἐκεῖνος πρόδρομος ἔσται τῆς
δευτέρας παρουσίας, οὕτως οὗτος τῆς προτέρας ἐγένετο. ἀλλ' οἱ γρ-

αμματεῖς

γραμματεῖς ταῦτα συγχέοντες καὶ διαστρέφοντες τὸν δῆμον, ἐ-
κείνης ἐμνημόνευον μόνης τῆς δευτέρας, διὰ τοῦτο καὶ οἱ μαθη-
ταὶ λέγουσι· πῶς οἱ γραμματεῖς λέγουσιν ὅτι δεῖ ἠλίαν ἐλθεῖν πρ-
ῶτον· εὐκαίρως δὲ πάλιν αὐτοὺς ἀναμιμνήσκει τοῦ πάθους, τὰς ἀπὸ
τῶν γραφῶν πιστούμενος μαρτυρίας, ἀλλὰ καὶ εἰς ἰωάννην φησὶν
"ἐποίησεν ὅσα ἠθέλησαν". ὃν καὶ ἠλίαν καλεῖ διὰ τὴν τῆς οἰκονομί-
ας κοινωνίαν· εἰκὸς γὰρ πάλιν πυθέσθαι αὐτοῦ τοὺς μαθητάς· πῶς
γέγραπται παθεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου". εἶτα πρὸς τοῦτό φησι·
λέγω ὑμῖν ὅτι ὥσπερ ἐλήλυθεν ὁ καθ' ὁμοίωσιν ἠλίου ἰωάννης καὶ
πάνδεινα πέπονθεν, οὕτω κατὰ τὰ γεγραμμένα παθεῖν δεῖ τὸν υἱὸν
τοῦ ἀνθρώπου. "Ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· διδάσκα-
λε ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον". τοῦ-
τον τὸν ἄνθρωπον σφόδρα ἀσθενοῦντα κατὰ τὴν πίστιν δεικνῦσι
τοῦ εὐαγγελίου ἡ γραφή, ἔκ τε τοῦ εἰπεῖν τὸν χριστόν· "ὦ γενεὰ ἄ-
πιστος" καὶ ἐκ τοῦ εἰπεῖν τὸ "εἰ δύνασαι πιστεῦσαι πάντα δυνατὰ τῷ
πιστεύοντι". ἔκ τε τοῦ εἰπεῖν αὐτὸν τὸν προσελθόντα· "βοήθει μου
τῇ ἀπιστίᾳ". καὶ ἐκ τοῦ κελεῦσαι τὸν χριστὸν τῷ δαίμονι μὴ εἰσ-
ελθεῖν εἰς αὐτόν, εἰ δὲ ἡ ἀπιστία αὐτοῦ γέγονεν αἰτία τοῦ μὴ ἐξε-
λαθῆναι τὸν δαίμονα, διὰ τί τοῖς μαθηταῖς ἐγκαλεῖ ὁ χριστός,
δεικνὺς ὅτι δυνατὸν αὐτοῖς καὶ χωρὶς τῶν προσαγόντων μετὰ πίστ-
εως πολλαχοῦ θεραπεῦσαι· ὥσπερ γὰρ ἀρκεῖ πολλάκις ἡ τοῦ πρ-
οσάγοντος πίστις, εἰς τὸ καὶ παρ' ἐλαττόνων λαβεῖν ἴασιν, οὕτω
τῶν ποιούντων τὰς ἰάσεις, πολλάκις ἤρκεσεν ἡ δύναμις καὶ μὴ
πιστευόντων τῶν προσελθόντων θαυματουργῆσαι· θεα δὲ τοῦτον

καὶ ἑτέρωθι τὴν ἀγνωμοσύνην, πῶς καὶ ἐπὶ τοῦ ὄχλου ἐντυγχάνει τῷ ἰησοῦ κατὰ τῶν μαθητῶν λέγων ὅτι προσήνεγκα τὸν υἱόν μου τοῖς μαθηταῖς σου, καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι. διὰ τοῦτο καὶ ὁ κύριος ἐπὶ τοῦ δήμου τούτῳ μᾶλλον τὸ πλέον λογίζεται καί φησι γ"άρ· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη· τοῦτο δέ, οὐκ εἰς τὸ τούτου πρόσω καὶ ἀποτεινόμενος φησὶν ἀλλὰ καὶ εἰς πάντας τοὺς ἰουδαίους. καὶ γὰρ εἰκὸς πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι, καὶ τὰ μὴ προσήκοντα ἐννοῆσαι περὶ αὐτοῦ. ὅταν δὲ λέγῃ· "ἕως πότε ἔσομαι μεθ' ὑμῶν"· δείκνυσι πάλιν ἀσπαστὸν τὸν θάνατον αὐτῷ, καὶ ὅτι αὐτῷ σταυρωθῆναι, ἀλλὰ τὸ εἶναι μετ' αὐτῶν βαρύ. εἶτα φησί "φέρετέ μοι αὐτὸν ὧδε" καὶ ἀφίησι σπαράττεσθαι. οὐ πρὸς ἐπίδειξιν. ἐπειδὴ γοῦν ὁ ὄχλος συνήγετο καὶ ἐπετίμησεν αὐτῷ, ἀλλὰ διὰ τὸν πατέρα τοῦ παιδός. ἵνα ὅταν ἴδῃ θορυβούμενον τὸ δαιμόνιον ἀπὸ τοῦ κληθῆναι μόνον, κἂν οὕτως ἐναχθῇ εἰς πίστιν τοῦ ἐσομένου θαύματος. ἐπειδὴ δὲ ἐκεῖνος εἶπεν· "εἰ δύνασαι βοήθει "μοι," λέγει, τῷ πιστεύοντι πάντα δυνατά. πάλιν εἰς αὐτὸν περιτρέπων τὸ ἔγκλημα. ὁ δὲ λέγει τοιοῦτόν ἐστι· τοσαύτη παρ' ἐμοῦ δυνάμεως περιουσία ὡς καὶ ἑτέρους ποιεῖν ταῦτα θαυματουργεῖν. ὥστε ἂν πιστεύσας ὡς δεῖ, δύνασαι καὶ αὐτὸς θεραπεῦσαι, καὶ τοῦτον καὶ ἑτέρους πολλούς. ἀλλὰ καὶ προτρέπων ἐπὶ τὴν πίστιν. ὁ δὲ ἔτι μᾶλλον ἐλεγχόμενος ἐπὶ τῇ ἀπιστίᾳ, "πιστεύω ἔφη, βοήθει μου τῇ ἀπιστίᾳ". εἰ τοίνυν ἐπίστευσεν εἰπών, πιστεύω, πῶς πάλιν φησὶ βοήθει μου τῇ ἀπιστίᾳ; λέγομεν οὖν ὅτι διάφορός ἐστιν ἡ πίστις. ἡ μὲν εἰσαγωγική, ἡ δὲ τελεία, ἀρξάμενος οὖν πιστεύειν, ἐδέετο τοῦ σωτῆρος διὰ τῆς αὐτοῦ δυνάμεως, προσθεῖναι τὸ λεῖπον. οὕτω γὰρ καὶ οἱ μαθηταὶ ἔλεγον ποτὲ τῷ σωτῆρι.

πρόσθες ἡμῖν πίστιν. ἔπειτα τὸ ἐπίταγμα τὴν ἐξουσίαν ἐμφαίνει·
φησὶ γὰρ πρὸς τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα· "Ἐγώ σοι ἐπιτάσσω,"
"ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν." καὶ τὸ μέν,
Ἐγώ σοι ἐπιτάσσω φησὶ τὴν θεϊκὴν δεικνὺς ἐξουσίαν· τὸ δὲ μὴ
μόνον ἐξελθεῖν, ἀλλὰ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτὸν φησί· διότι
καὶ πρὸς δευτέραν ἐπίθεσιν εὔκολος ἦν, ὁ μὴ τῇ πίστει πεφραγμένος.
ὅπερ ἀνεῖργε τὸ δεσποτικὸν ἐπίταγμα μὴ γενέσθαι· καὶ δὴ καὶ
οὕτω δύσκολος ἡ τοῦ δαίμονος ἀπόλυσις ἦν, ὥστε καὶ νεκρὸν νομίζε-
σθαι τὸν παῖδα τοῦ δαίμονος ἐξελθόντος· οὐ γὰρ ἠθέλησεν εἰς θά-
νατον καταβαλεῖν διὰ τὴν τῆς ζωῆς παρουσίαν. "τότε καὶ οἱ μα-"
"θηταὶ ἰδίᾳ τὸν δεσπότην ἐρωτῶσιν, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν αὐ-"
"τὸ ἐκβαλεῖν" οὐκ αἰσχυνόμενοι, ἀλλὰ δοκοῦσιν ἀγωνιᾶν καὶ δεδοικέ-
ναι, μή ποτε τὴν χάριν ἣν ἐπιστεύθησαν ἀπώλεσαν. ἔλαβον γὰρ
ἐξουσίαν κατὰ δαιμόνων ἀκαθάρτων. τί οὖν ὁ Χριστός, τὸ τῶν
δαιμόνων ἅπαν εἶδος τούτους φησὶ θεραπεύουσιν· νηστείᾳ λέγω καὶ
προσευχῇ. εἰ δὲ χωρὶς νηστείας ἐξέβαλόν τινες δαίμονας, ἀλλὰ τὸν
πάσχοντα ἀμήχανόν ποτε τρυφῶντα ἀπαλλαγῆναι τῆς μανίας ταύτης.
"πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων." διαλογισμὸς "
ἐνέπεσε τοῖς μαθηταῖς ὡς ὁ Λουκᾶς φησὶ καὶ πρὸς ἀλλήλους διελέχ-
θησαν ἐν ὁδῷ τίς μείζων· τὸν δὲ λογισμὸν αὐτῶν ἐκ τῆς ἰδίας δια-
λέξεως ὁ κύριος κινεῖ, κατὰ τὴν τούτου τοῦ εὐαγγελιστοῦ ἱστορίαν.
ὁ γὰρ Ματθαῖος οὐκ ἄνωθεν ἤρξατο τῆς διηγήσεως, ἀλλ' ἀπεσιώπη-
σε τὴν τοῦ σωτῆρος περὶ τὰ διανοηθέντα γνῶσιν. ἐπειδὴ δὲ ἃ ἰδίᾳ
νοοῦντες ἢ λέγοντες, ὡς ἐκ αὐτοῦ ἔλεγοι καὶ διενοοῦντο ὅτι πάντα γὰρ

αὐτῷ καταφανῆ καὶ τὸ λογισθὲν ὥσπερ τὸ ῥηθέν· καὶ ἐπ' αὐτοῦ
ἐλεγχόμενον. ποθοῦσι μὲν οὖν τὴν παρὰ τῷ κυρίῳ τιμὴν, ἀγαθὸν τοῦ-
το καὶ ἐπαινετὸν ἔχοντες· ἐπειδὴ δὲ πρόσεστι τῷ πόθῳ καὶ τὸ μεγαλύ-
νειν πως ἑαυτούς· ὡς γὰρ μέγας τις ὤν, οὕτω καὶ μεγάλων τιμῶν
ὀρέγεται· διὰ τοῦτο τὴν μὲν ἐπιθυμίαν, οὐκ ἀπεκώλυσε, τὴν δὲ τα-
πεινοφροσύνην εἰσηγήσατο, οὕτως αὐτοὺς τεύξεσθαι τοῦ προκειμ-
ένου λέγων, εἰ μὴ μέγα φρονοῖεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἁπλότητι χρήσ-
αιντο παιδίου, ὡς μηδὲ ἔχειν ἐφ' ἑαυτοῖς ὑπόληψίν τινα. ἀνακα-
λύπτει οὖν αὐτῶν τὸ συνειδὸς, καὶ πρὸς τὸ πάθος ἀποκρίνεται, οὐχ
ἁπλῶς πρὸς τὰ ῥήματα. ὑμεῖς μὲν γὰρ ἐξετάζετε τίς μείζων,
καὶ περὶ πρωτείων φιλονεικεῖτε. ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινό-
τερον γενόμενον, οὐδὲ τῆς εἰσόδου ἄξιον εἶναί φημι· εἶτα καὶ παι-
δίον εἰς μέσον ἵστησι· καὶ ἀπὸ τῆς ὄψεως αὐτοὺς ἐντρέπων, καὶ
πείθων εἶναι ταπεινοὺς καὶ ἀπλάστους· φθόνου γὰρ καθαρὸν τὸ
παιδίον καὶ κενοδοξίας, καὶ τοῦ τῶν πρωτείων ἐρᾶν. οὐ μόνον δὲ
φησὶν ἐὰν τοιοῦτοι γένησθαι μισθὸν λήψεσθε μέγαν, ἀλλὰ καὶ
ἑτέρους τοιούτους τιμήσητε δι' ἐμὲ, τῆς ἐκείνων τιμῆς ἕνεκα ὑμ-
ῖν βασιλείαν ὁρίζω· ὁ γὰρ διὰ χριστὸν τοιούτους δεχόμενος
οὗτος χριστὸν ὑποδέχεται· καὶ δι' αὐτοῦ, καὶ αὐτὸν εἰσοικίζεται
„ τὸν πατέρα.. „ Ἀπεκρίθη δὲ αὐτῷ Ἰωάννης λέγων· οἴδαμέν
„ τινα τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ
„ ἡμῖν" οὐ ζηλοτυπίᾳ ὑπαγόμενος ὁ τῆς βροντῆς υἱὸς τοῦτο
τῷ σωτῆρί φησιν, ἀλλὰ πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνο-
μα τοῦ χριστοῦ, καὶ ἀκολουθεῖν αὐτῷ βουλόμενος· καὶ εἶ-
ναι μετὰ τῶν αὐτοῦ μαθητῶν· ὁποῖος δὲ ἦν, περὶ οὗ ταῦ-
τα φησὶ συντόμως ἐρῶ· πολλοὶ τῶν μὴ πιστευσάντων ἔλα-
βον χαρίσματα, οἷος ἦν οὗτος ὁ τὰ δαιμόνια ἐκβάλλων
καὶ οὐκ

καὶ οὐκ ὢν μετ' αὐτοῦ· ἐπειδὴ δὲ οὐ πάντες πρὸς πάντα εἶχον
ἐπιτηδείως, ἀλλ' οἱ μὲν ἦσαν βίου καθαροῦ, πίστεως δὲ οὐ τοιαύτης,
οἱ δὲ τοὐναντίον, κἀκείνους διὰ τούτων προτρέπει ὥστε πολλὴν ἐπι-
δείξασθαι σπουδὴν καὶ πίστιν· καὶ διὰ τῆς ἀφάτου δωρεᾶς τούτους
εἰς τὸ γενέσθαι βελτίους ἐξεκαλεῖτο· ὅθεν φησὶν ὁ σωτήρ·
"μὴ κωλύετε αὐτόν" εἰκὸς γὰρ αὐτόν, διὰ τούτων δὲ εἰς ἐπίδοσιν
ἀρετῆς ἀφικέσθαι· "οὐδεὶς γὰρ τῶν ἐπὶ τῷ ὀνόματί μου ἐπιτελ-
ούντων τὰς δυνάμεις, δυνήσεται κακολογῆσαί με" εἰ γὰρ καὶ μὴ
ἀκολουθοῦσιν ἡμῖν οὗτοι, διὰ τὸ μὴ ἕπεσθαι τῇ πίστει τὰ ἔργα.
ἀλλά γε εἰπεῖν τι καθ' ὑμῶν, οὐ δυνήσονται ῥᾳδίως· διὰ τὸ αἰσχυ-
νεσθαι αὐτοὺς ἐπὶ ταῖς δυνάμεσιν ἐφ' αἷς ἐπιτελοῦσι διὰ
τοῦ ἐμοῦ ὀνόματος· τὸ δὲ ταχὺ προσκεῖται διὰ τοὺς εἰς αἵ-
ρεσιν ἐκπεσόντας· οἷος ἦν Σίμων, καὶ Μένανδρος καὶ Κήρινθος·
τάχα δὲ ἐκεῖνοι, οὐχὶ ἐν τῷ ὀνόματι αὐτοῦ τὰ σημεῖα ἐποίουν,
ἀλλὰ μαγγανείαις τισὶ καὶ ἀπάταις ἐδόκουν ποιεῖν· τὸ δὲ· "ὃς
γὰρ οὐκ ἔστι καθ' ἡμῶν καθ' [ὑπὲρ] ἡμῶν ἐστιν" οὐκ ἔστιν ἐναντίον, τῷ
ὁ μὴ ὢν ~~μεθ~~ μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι· τοῦτο γὰρ περὶ δαιμό-
νων εἴρηται τοῦ ἀφέλκειν πάντας ἀπὸ τοῦ θεοῦ σπουδαζόντων
καὶ τὴν συναγωγὴν αὐτοῦ σκορπίζειν, ἐκεῖνο δὲ περὶ πιστευόντων
μὲν εἰς αὐτόν, μὴ ἀκολουθούντων δὲ αὐτῷ διὰ προαίρεσιν ἑλ-
ληνικὴν ἢ διὰ χαυνότητα βίου· τῷ δὲ ὀνόματι αὐτοῦ ἐπιτελούντων
δυνάμεις· διὰ τὴν τῶν προσιόντων πίστιν, καὶ διὰ τὸ καὶ αὐτοὺς εἰς
τελείαν ἀναχθῆναι πίστιν· ἀρχὴν γὰρ ἔχοντος τοῦ κηρύγματος,
συνεχώρει ὁ θεὸς καὶ τοιαῦτα γίνεσθαι· "ὃς γὰρ ἂν ποτίσῃ

ὑμᾶς ποτὲ ὕδατος ἐν ὀνόματί μου, ὅτι Χριστοῦ ἐστὲ, ἀμὴν λέγω
ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ". ἵνα γὰρ μὴ πενίαν
τὶς προβάληται, κἂν ποτήριον φησὶ ψυχροῦ ὕδατος δῷ τισὶ ἔνθα
οὐδὲν ἔστι δαπανῆσαι, τούτου κείσεται μισθός. οὐ γὰρ τὸ εὐ-
τελὲς τοῦ προσαγομένου, ἀλλ' ἡ ἀξία τῶν λαμβανόντων, καὶ ἡ διά-
θεσις τῶν παρεχόντων, ποιεῖ ἔμμισθον τὸ εὐτελὲς τοῦ διδομένου,
εὐπαράδεκτον δὲ μειζόνως ποιοῦν τὸν λόγον, οὐκ ἀπὸ τῆς τιμῆς
μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κολάσεως, αὐτὸ συνίστησιν. ὥσπερ φη-
σιν οἱ τιμῶντες ὑμᾶς δι' ἐμὲ τιμὴν ἔχουσιν, οὕτω δὴ καὶ οἱ
ἀτιμάζοντες. τοῦτο γάρ ἐστι τὸ σκανδαλίσαι, τὸ τὴν ἐσχάτην δώ-
σουσι δίκην. μικροὶ δὲ τῶν πιστευόντων εἰς αὐτὸν, καὶ οἱ ἐπικα-
λούμενοι τὸ ὄνομα αὐτοῦ, μὴ μέντοι ἀκολουθοῦντες αὐτῷ καὶ οἱ
ποτήριον ψυχροῦ προσάγοντες, καὶ μὴ ἄλλο τι τῶν μειζόνων, τού-
τους οὖν οὐ δεῖ σκανδαλίζειν, τοῦτο γὰρ τὸ κωλύειν ἐπικαλεῖ-
σθαι τὸ ὄνομα αὐτοῦ. ἀπὸ τῶν ἡμῖν δὲ γνωρίμων τὴν τιμω-
ρίαν ὁρίζει τὸ ἀφόρητον αὐτῆς ἐμφαίνων. ὅταν γὰρ μάλιστα κα-
θάψασθαι βούληται, αἰσθητὰ ἄγει τὰ παραδείγματα, καὶ ἐνταῦθα
τοίνυν βουλόμενος δεῖξαι ὅτι πολλὴν ὑποστήσονται τὴν τιμωρίαν, εἰς
μέσον ἤγαγε τοῦ μύλου καὶ τοῦ καταποντισμοῦ. καὶ οὐκ εἶπεν
ὅτι ὁ μύλος κρεμασθήσεται εἰς τὸν τράχηλον αὐτοῦ, ἀλλὰ συμφέ-
ρει αὐτῷ τοῦτο ὑπομεῖναι, δεικνὺς ὅτι ἕτερον τούτου χαλεπώτερον
" ἀναμένει κακόν. "καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου ἀπόκοψον
" αὐτήν. καλόν σοι ἐστὶ κυλλὸν εἰς τὴν ζωὴν ἐλθεῖν, ἢ τὰς χεῖρας
" ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν". οὐ περὶ μελῶν ταῦτα
λέγει, ἀλλὰ περὶ τῶν προσηκόντων φίλων, οὓς ἐν τάξει μελῶν
ἔχομεν. ἀναγκαίως. οὐδὲν γὰρ οὕτω βλαβερὸν, ὡς συνουσία πονηρά.

ὅσα γάρ

ὅσα γὰρ ἀνάγκη δύναται, οὐ δύναται φιλία πολλάκις καὶ εἰς βλάβην καὶ
εἰς ὠφέλειαν· διὸ μετὰ πολλῆς σφοδρότητος, τοὺς βλάπτοντας ἡμᾶς
ἐκκόπτειν κελεύει· ἀπειλήσας οὖν τοῖς σκανδαλίζουσι· παραινεῖ
τοῖς σκανδαλιζομένοις, τὸ φυλάττεσθαι κἂν οἰκειότατος ᾖ ὁ σκαν-
δαλίζων· εἰ γὰρ καὶ μελῶν ἐκτομαῖς ἔοικεν ὁ τούτων χωρισμός, αἱ-
ρετώτερον ἂν εἴη τῆς ἀποκειμένης ἀπωλείας· τὴν δὲ προφητικὴν
ἐπιφέρει ῥῆσιν ἀπὸ Ἠσαΐου τοῦ προφήτου, τὸ ἀφόρητον τῆς τι-
μωρίας αἰνιττόμενος· σκώληκα δὲ ὀνομάζει τὴν συνείδησιν, δίκην σκ-
ωλήκων κατεσθίουσαν, τῶν ἐν αὐτοῖς οὐκ ἀγαθῶν συνειδότων
τὴν ψυχήν, ἐν τῷ μετανοεῖν· ἕκαστος γὰρ ἑαυτοῦ κατήγορος ἐν τῷ
ἐξομολογεῖσθαι γενήσεται ἀναμιμνησκόμενος τὰ κατὰ τὸν θνητὸν
βίον πεπραγμένα καὶ ὑπὸ τῆς συνειδήσεως αὐτοῦ κεντούμενος·
ἑκάστου τούτων ὁ σκώληξ ἀτελεύτητος διαμένει, οὐ γὰρ δήπου
περὶ αἰσθητοῦ σκώληκος ταῦτα εἴρηκεν· καὶ τὸ πῦρ δὲ αὐτῶν
ἄσβεστον ὑπάρξαι φησὶ τὸ αὐτὸ τοῦτο αὐτοῖς αἰνιττόμενος, ὥσπερ
γὰρ αἰώνιον εἴρηται πῦρ· οὕτω καὶ ἐνταῦθα ἄσβεστον, πῦρ δὲ
ἐστὶ τὸ κριτήριον τῆς οἰκείας αὐτῶν συνειδήσεως, ὃ δίκην σκώλη-
κος ἀτελευτήτου ἐν αὐτοῖς ἀνειλεῖται, καὶ καταφλέξει αὐτούς·
πῦρ πηγάζον ἐν αὐτοῖς· πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα
θυσία ἁλὶ ἁλισθήσεται", ὅμοιον ἐστὶ τῷ ὑπὸ τοῦ ἀποστόλου εἰρημέ-
νῳ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει· εἶτα ἐπάγει
ἀπὸ τοῦ Λευιτικοῦ μαρτυρίαν, τὸ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλι-
σθήσεται· ταύτην δὲ τὴν ἐντολὴν κατὰ τὸν πνευματικὸν τηρήσο-
μεν νόμον· ὅταν ἐπὶ παντὶ δώρῳ θυσίας ἡμῶν τῆς κατὰ τὴν εὐ-

χὴν καὶ τὴν ἄλλην τὴν πρὸς τὸν πλησίον δόσιν· κατὰ θεὸν ποιῶ-
μεν· ὡς χάριν εὑρίσκοντες ἐνώπιον τοῦ θεοῦ κατὰ ~~τὸν~~ τὸν λό-
γον τῶν θείων θεόντες γραφῶν· τότε ἁλίζομεν τὰ δῶρα τῆς
θυσίας ἡμῶν ἐπὶ τοῦ θεοῦ· τὸ οὖν ἔργον ἑκάστου μὴ ἐνταῦθα
ἅλι ἁλισθήσεται, εἰδὲ καὶ ἐνταῦθα πυρὶ τῷ θείῳ ἁλίζεται ἡ θυσία
ἡμῶν συνήστις ἐκ τοῦ, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· εἰ τοίνυν
πᾶς πυρὶ ἁλισθήσεται· καλὸν δὲ τὸ ἅλας· αἲ ἄναλον γένηται
φησὶ τουτέστιν ἑαυτοῦ ἐστερημένον καὶ τῆς ἰδίας ποιότητος δι' ἧς
καλὸν εἴρηται· ἐν τίνι αὐτὸ ἀρτύσετε; εἰ οὖν διὰ τοῦ ἔχ-
οντων ἅλας ἐντολὴ τὸ εἰρηνεύειν ἐν ἑαυτοῖς ἐστίν, οἱ μὴ εἰρη-
νεύοντες ἅλας εἰσὶν ἄναλον· εἰσὶ γὰρ ἅλες ἅλας ἔχοντες, καὶ
εἰσὶν ἅλες οὐκ ἔχοντες ἅλας· ἅλας ἔχουσιν οἱ πληρεῖς τῶν
συνεχόντων ἑαυτοὺς ἐν εὐσεβείᾳ καὶ πάσῃ ἀρετῇ λόγων· ὁ λό-
γος γάρ φησιν ἡμῶν ἅλατι ἠρτυμένος ἔστω ἐν χάριτι. ἄξιον δὲ
νῦν φάναι κατά τι οἱ τοῦ χριστοῦ μαθηταὶ ἁλσὶ παραβάλλονται·
καὶ ἐστὶν εἰπεῖν, ὅτι ὥσπερ οἱ ἅλες τὰ τοιαῦθ' συνέχουσι σώ-
ματα πρὸς τὸ μὴ μεταβάλλειν εἰς σκώληκας ἀπὸ δυσωδίας καὶ
ποιοῦσι χρήσιμα, οὕτως οἱ τοῦ ἰησοῦ μαθηταὶ πάντα τὸν
περίγειον τοῦτον τόπον διακρατοῦσι καὶ συνέχουσιν ἀνθιστάμε-
ναι τῇ ἐξ εἰδωλολατρείας καὶ πορνείας ἁμαρτιῶν δυσωδίᾳ· δο-
κεῖ δὲ ὁ μὲν Ματθαῖος ἀναγεγραφέναι αὐτοὺς εἶναι τοὺς μα-
θητὰς τοῦ ἰησοῦ ἅλας· ὁ δὲ λουκᾶς οὐ σαφῶς τοῦτο δηλοῖ·
διόπερ ἀμφίβολος αὐτοῦ ἡ λέξις ἐστὶ· δυναμένη καὶ κατὰ Μάρ-
κον νοεῖσθαι· ὅτι ἕκαστος ὑμῶν οὐκ ἂν ἅλας ἐν ἑαυτῷ ἔχειν
ὀφείλει τοὺς ἅλας, καὶ τάχα τοσοῦτον τις ἔχει ἁλῶν ὅσον

κεχώρηκε

κεχώρηκε τῶν τοῦ θεοῦ χαρίτων. τοιοῦτος δέ ἐστιν ὅστις εὗρε χάριν
ἐναντίον κυρίου τοῦ θεοῦ, ὡς Νῶε καὶ Ἀβραὰμ καὶ Μωσῆς. καὶ εἴ
τις ἄλλος ἀναγέγραπται εὑρηκέναι χάριν ἐνώπιον τοῦ θεοῦ. συνήγα-
γε δὲ ἐπὶ τὸ αὐτὸ τὴν χάριν καὶ τοὺς ἅλας ὁ Παῦλος εἰπών, ὁ
λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος. εἴ τις οὖν χάριτος
ἀξιωθεὶς κενὴν ταύτην ποιήσειε, οὗτος ἂν εἴη εἷς ὧν οἱ ἅλες ἐμωράν-
θησαν. ἅλς δέ ἐστιν οὐράνιος καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅσ-
τις φθαρεῖσαν πᾶσαν τὴν γῆν. εἷς ὢν ἤρκεσε διακρατῆσαι ὅλην,
καὶ πολλοὺς δὲ ἐποίησεν εἰς γῆν ἅλας, οἵτινες ἐπὶ τοσοῦτον ἰσχύου-
σιν, ὅσον οὐ μωραίνονται, οὐδὲ ἄναλοι γίνονται, οὐδὲ ἄξια τοῦ
βληθῆναι ἔξω πράττουσιν, οὐδὲ ὑπὸ τοὺς πόδας τῶν ἑτοίμων καταπα-
τεῖν αὐτοὺς ἀνθρώπων γίνονται. καλὸν οὖν καὶ ἐπαινετὸν τὸ ἅλας.
ἐὰν δέ ποτε καὶ τούτων τι μωρανθῇ, δυνατὸν γὰρ ἐξ ἀπροσεξίας καὶ
τοῖς καλοῖς ἅλσιν ἐπὶ τὸ μωρανθῆναι μεταβαλεῖν. ἐν τίνι ἀρτυθήσε-
ται, ἄξιον ἐπαπορῆσαι. μωρανθὲν δὲ καὶ μὴ ἀρτυθὲν οὔτε εἰς γῆν
γεωργουμένην εὔθετόν ἐστιν, οὔτε εἰς κοπρίαν, ἧς χρήζει ὁ ἀμπελ-
ουργός. διὸ ἔξω βάλλουσιν αὐτό. ἀκολουθεῖ δὲ τῷ ἔχοντι ἐν ἑαυ-
τῷ τοὺς ἅλας, καὶ τὸ εἰρηνεύειν ἐν ἑαυτῷ. ἔστι γὰρ ἐν τούτῳ
ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη θεοῦ. „ προσελθόντες οἱ Φαρι „
σαῖοι ἐπηρώτησαν αὐτόν. εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειρά- „
ζοντες αὐτόν. ἐρωτηθεὶς ὁ κύριος εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα
ἀπολῦσαι, οὐκ εὐθέως εἶπεν οὐκ ἔξεστιν ἵνα μὴ θορυβηθῶσιν. ἀλλὰ
διὰ τῆς ἐρωτήσεως αὐτοὺς πρῶτον ἐβουλήθη ἀποκρίνασθαι τοῦ νό-
μου τὸ βούλημα. ἵνα ὅπερ ἔδει αὐτὸν πρὸς αὐτοὺς λέγειν. τοῦτο

φθάσαντες αὐτοὶ ἀποκρίνονται· προβάλλονται τοίνυν τὸν Μωσέα τοῦτο εἰρηκέναι, ἴσως μὲν καὶ διὰ τὴν τοῦ σωτῆρος ἐρώτησιν· ἴσως δὲ καὶ τὸ πλῆθος βουλόμενοι ἐπιστρατεῦσαι τοῦ ἀνδρὸς αὐτῶν. καὶ γὰρ ἀδιάφορον ἰουδαίοις τοῦτο ἦν, καὶ πάντες τοῦτο ἔπραττον, ὡς ὑπὸ νόμου συγκεχωρημένον. τί οὖν φησιν ὁ κύριος. "πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψε τὴν ἐντολὴν ταύτην Μωσῆς." οὐκ ἀφίησιν αὐτὸν ὑπὸ κατηγορίαν μένειν. ἐπειδὴ καὶ τὸν νόμον αὐτὸς ἦν αὐτῷ δεδωκώς, ἀλλ' ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος. καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπει κεφαλήν. εἶτα ἐπειδὴ φορτικὸν ἦν τὸ εἰρημένον, ταχέως ἐπὶ τὸν ἀρχαῖον καταφεύγει νόμον, λέγων. "ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς." τουτέστι διὰ τῶν πραγμάτων ἡμῖν ἐξ ἀρχῆς ὁ θεὸς ἐνομοθέτησε τὰ ἐναντία. εἰ γὰρ οὕτω προηγούμενος ἦν ὁ νόμος καὶ συμφέρων, οὐκ ἂν ἐκεῖνος ἐξ ἀρχῆς ἐδόθη, καὶ οὐκ ἂν οὕτω πλάττων ἔπλασεν ὁ θεός. καὶ οὐκ ἂν τοιαῦτα εἶπεν. οὐκ εἶπε δὲ ὅτι ἐποίησεν ἕνα ἄνδρα καὶ μίαν γυναῖκα μόνον, ἀλλ' ὅτι καὶ τοῦτο ἐκέλευσεν, ὥστε τὸν ἕνα τῇ μιᾷ συνάπτεσθαι. εἰ δ' ἐβούλετο τὴν μὲν ἀφιέναι, ἑτέραν δὲ ἐπεισάγειν, ἕνα ἄνδρα ποιήσας, πολλὰς ἂν ἔπλασε γυναῖκας. νῦν δὲ καὶ τῷ τρόπῳ τῆς νομοθεσίας ἔδειξεν ὅτι ἕνα δεῖ μιᾷ συνοικεῖν διὰ παντός, καὶ μηδέποτε διαρρήγνυσθαι. ἐκ μιᾶς γάρ φησι ῥίζης ἐγένοντο, εἰς ἓν σῶμα συνῆλθον. εἶτα φοβερὸν ποιῶν τὸ ταύτης κατηγορεῖν τῆς ἐντολῆς, οὐκ εἶπε μὴ διασπᾶτε. ἀλλ' ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ οὐχ ἁπλῶς φησι. "συνήγαγε τὴν γυναῖκα τῷ ἀνδρί, ἀλλὰ καὶ γονεῦσιν ἀφιέναι ἐκέλευ-

σε, καὶ πρὸς τὴν γυναῖκα κολληθῆναι τῷ τρόπῳ τῆς λέξεως, τὸ
ἀδιάστατον ἀδιάσπαστον ἐμφαίνων· ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρ-
κα μίαν." διδοὺς τοίνυν τὴν ἀπόστασιν τῆς μισουμένης γυναικός,
καὶ τὸ κατὰ φύσιν περιτρεπόμενον, οὐκ ἐκώλυσε, διὰ τὸ μὴ ἄγαν
εἰς τὸ παρὰ φύσιν ἐκπεσεῖν τοὺς ἀνθρώπους, ψυχῆς μὲν γὰρ
καθαιρομένης ἐπιθυμιῶντες καὶ θυμοῦ, δυνατὸν καὶ φαύλην γυναῖ-
κα ὑπομένειν, πλεοναζόντων δὲ ἐν ψυχῇ τῶν προειρημένων παθῶν,
πολλὰ καὶ δεινὰ γένοιτ' ἂν ἐν τῇ παρὰ γνώμην συνοικήσει· τη-
ρεῖ δὲ ὅτι οὐ τὰ ἐφεξῆς εἶπε τῆς γεννήσεως εἰρημένα, τάχα δὲ
οὐδὲ περὶ τῶν αὐτῶν, τὸ μὲν γὰρ ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς
περὶ τῶν κατ' εἰκόνα λέγεται, τὰ δὲ ἕτερα περὶ τῶν ἀπὸ τοῦ
χοῦ τῆς γῆς, καὶ μιᾶς τῆς πλευρᾶς γενομένων, καὶ ζητεῖ πῶς
τοῦ, αὕτη κληθήσεται γυνή, καὶ τῶν ἑξῆς ἐν τῇ γενέσει, ὑπὸ
τοῦ Ἀδὰμ νομιζομένων λέγεσθαι ὁ σωτὴρ ὑπὸ θεοῦ αὐτὰ εἰρῆ-
σθαί φησιν διονεὶ νομοθετοῦντος, καὶ ἐπεὶ θεός, καὶ τοὺς δύο πο-
ιήσας ἕν. οὐχ ἃ οὖν ὁ θεὸς συνέζευξε λέγει. ἑνικῶς δὲ ἔτι,
ἣν ὁ θεὸς συνέζευξεν ἐκκλησίαν χριστῷ, οὐ δεῖ χωρίζειν αὐτοῦ.
καὶ λέγει αὐτοῖς· "ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ
καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν." ὁ μὲν Ματθαῖ-
ος πρὸς τοὺς Φαρισαίους καὶ ταῦτά φησιν εἰρηκέναι, ὁ δὲ Μάρκος
πρὸς τοὺς μαθητάς· καὶ οὐκ ἔστι δὲ ἐναντίον· ἐνδέχεται γὰρ καὶ
τούτοις κἀκείνοις τὰ αὐτὰ εἰρηκέναι· ἄλλως τε παρατηρεῖν
ἡμᾶς δοκεῖ ὁ Μάρκος καὶ ὑπομιμνήσκειν, ὡς πρὸ τούτου οἱ
μαθηταὶ περὶ τούτου ἐπηρώτων τὸν Ἰησοῦν, καὶ ταῦτα εἶπεν

αὐτοῖς· μοιχείαν οὖν ἐκάλεσε τὸ μὴ τῇ ἰδίᾳ συνεῖναι. οὐ τῇ ἰδί-
ᾳ δὲ συνεστιν. ὁ τὴν ἰδίαν ἀπολιπὼν. διὰ τοῦτο μοιχᾶται ἐπ' αὐ-
τήν. τουτέστιν ἐπὶ τὴν δευτέραν ἣν ἐπεισάγει τῇ κατὰ φύσιν αὐ-
τῷ συνημμένῃ. ὡς δὲ αὐτὸ καὶ ἡ γυνὴ οὐχ ἰδίῳ σύνεστιν ἀνδρί, ἐὰν
τὴν ἰδίαν καταλίπῃ· καὶ ὁ μὲν νόμος τὴν προφανῆ μοιχείαν ἀπε-
κώλυσεν, ὅτε τὴν συνοικοῦσαν ἑτέρῳ διαφθείρει. ὁ δὲ σωτὴρ καὶ
τὴν οὐχ ὁμολογουμένην παρὰ πᾶσιν, οὐδὲ γινωσκομένην. τῇ δὲ
» φύσει διελεγχομένην, „καὶ προσέφερον αὐτῷ παιδία, ἵνα ἅψηται
» αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσι.„ τοὺς προσ-
φέροντας τὰ παιδία διεκώλυον οἱ μαθηταὶ ἀξιώματος ἕνεκεν. ὁ
δὲ σωτὴρ διδάσκων αὐτοὺς μετριάζειν καὶ τῦφον καταπατεῖν κοσ-
μικόν, καὶ λαμβάνει καὶ ἐναγκαλίζεται, καὶ τούτοις τὴν βασιλείαν
ἐπαγγέλλεται· καὶ γὰρ πάντων τῶν παθῶν κυριεύει ἡ ψυχὴ τοῦ
παιδίου. διὰ τοῦτο οὖν φησι. „τῶν γὰρ τοιούτων ἡ βασιλεία„.
ἵνα τῇ προαιρέσει ταῦτα ἐργαζώμεθα, ἃ τῇ φύσει τὰ παιδία
» ἔχει. καλὸν δὲ καὶ τὸ „ἐναγκαλισάμενος αὐτὰ ηὐλόγει„ πά-
λιν δὲ ὡς εἰς ἀγκάλην ἐπανάγεται τοῦ δημιουργοῦ τὸ ποίημα
χωρισθὲν αὐτοῦ καὶ ἐκπεπτωκός. ἐπετίθει δὲ τὴν χεῖρα τοῖς παιδί-
οις, τῆς ἐπιθέσεως τῶν χειρῶν διδασκούσης τὴν τῆς θείας δυνάμ-
εως ἐπίθεσιν. ἣ τὸ ἔργον τὸ ἑαυτῆς τελειοῖ. τὸ δὲ σχῆμα κοι-
νὸν καὶ κατὰ τὴν συνήθειαν τῆς τῶν χειρῶν ἐπιθέσεως ποιεῖ
ὁ Χριστός· οὐ μὴν κατὰ τὴν συνήθειαν ἐνήργει· ὅτι δὴ θεὸς
ὢν, καὶ τὸν ἀνθρώπινον τρόπον διεφύλαττεν, ὡς ἄνθρωπος κατ'
ἀλήθειαν γεγονώς καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν

προσδραμών

προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτὸν· ἐπηρώτησεν αὐτόν, "
διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;" "
τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον, καὶ ὕπουλόν τινα καὶ
πονηρὸν· καὶ μετὰ πείρας τῷ ἰησοῦ προσελθόντα, ἐγὼ δὲ φι-
λάργυρον αὐτὸν καλῶ ἀποκαλῶ· ἐπειδὴ δὲ ὁ χριστὸς τοιοῦτον
ὄντα αὐτὸν διήλεγξεν, ὕπουλον δὲ οὐδαμῶς διὰ τὸ εἰπεῖν τὸν
εὐαγγελιστὴν ὅτι ἐμβλέψας αὐτῷ ὁ ἰησοῦς ἠγάπησεν αὐτόν.
εἰ δὲ πειράζων προσῆλθεν, ἐδήλωσεν ἂν ἡμῖν καὶ τοῦτο ὁ
εὐαγγελιστὴς ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ. εἰ δὲ καὶ αὐτὸς
ἐσίγησεν, ὁ χριστὸς ἂν αὐτὸν οὐκ εἴασε λαθεῖν ἀλλ' ἤλεγξεν
ἂν σαφῶς· ἢ καὶ ᾐνίξατο· καὶ οὐκ ἂν ἀπῆλθε λυπούμενος
ἐφ' οἷς ἤκουσεν. ἐπειδὴ δὲ ὡς ἀνθρώπῳ προσῆλθε τῷ χριστῷ,
καὶ ἑνὶ τῶν ἰουδαϊκῶν διδασκάλων, ὡς ἄνθρωπος αὐτῷ διαλέ-
γεται καὶ φησίν· "οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός" καὶ γὰρ
πολλαχοῦ πρὸς τὰς ὑπονοίας τῶν προσιόντων ἀποκρίνεται· ὅτ-
αν οὖν εἴπῃ οὐδεὶς ἀγαθὸς τουτέστιν οὐδεὶς ἀνθρώπων, οὐ-
χὶ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος, τοῦτο λέγει, ἀλ-
λὰ πρὸς ἀντιδιαστολὴν τοῦ θεοῦ ἀγαθότητος. διὸ καὶ ἐπ-
ήγαγεν "εἰ μὴ εἷς ὁ θεός". καὶ οὐκ εἶπεν ὅτι ὁ πατήρ
μου. ἵνα μάθῃ ὅτι οὐκ ἐξεκάλυψεν ἑαυτὸν τῷ νεανίσ-
κῳ. τί δήποτε δὲ οὕτως αὐτῷ ἀποκρίνεται, ἀνάγειν αὐ-
τὸν κατὰ μικρὸν βουλόμενος, καὶ παιδεύων κολακείας ἁπάσης
ἀπηλλάχθαι καὶ θεῷ προσηλῶσθαι. ἤτοι τοῦτό φησι διδάσκ-
ων ὅτι αὐτὸς μὲν δίκαιος, ἐξουσίαν λαβὼν κρίσιν κρίνειν·

καὶ κρίνειν τὸν λαὸν ἐν δικαιοσύνῃ. ὁ δὲ πατὴρ καὶ τοὺς ἐν
τῇ δικαιοσύνῃ τοῦ υἱοῦ παιδευθέντας μετὰ τὴν βασιλείαν τοῦ
χριστοῦ εὐεργετῶν τὴν ἀγαθοῦ προσηγορίαν ἔργοις δείξει, γενό-
μενος τὰ πάντα ἐν πᾶσι. καὶ τάχα τῇ αὐτοῦ δικαιοσύνῃ ὁ
σωτὴρ εὐτρεπίζει πάντα, λόγῳ καὶ τάξει, καὶ κολάσεσι πνευ-
ματικοῖς βοηθήμασι πρὸς τὸ χωρῆσαι ἐπὶ τέλει τὴν ἀγαθότη-
τα τοῦ πατρός. ὃ μὴ νοοῦντες οἱ ἑτερόδοξοι, ἕτερον εἶχον
τὸν δίκαιον θεὸν τοῦ ἀγαθοῦ. καλῶς δὲ οὐχὶ ζωῆς ἐμνημό-
„νευσεν. ἀλλὰ θησαυροῦ λέγων. „καὶ ἕξεις θησαυρὸν ἐν οὐρα-
„νῷ." ἐπειδὴ γὰρ περὶ χρημάτων ἦν ὁ λόγος, καὶ πάντων
αὐτῶν γυμνωθῆναι παρῄνει. δείκνυσιν ὅτι οὐκ ἀφαιρεῖται τὰ
ὄντα, ἀλλὰ προστίθησι τοῖς οὖσι πλείονα, ὧν ἐκέλευσε πάλιν.
καὶ τοσοῦτο μεῖζον ὅσον γῆς ὁ οὐρανός. προστίθησι δὲ καὶ τὴν αἰ-
τίαν τῆς λύπης ὁ εὐαγγελιστὴς εἰπὼν τό. „ἦν γὰρ ἔχων κτ-
ήματα πολλά." οὐ γὰρ ὁμοίως κατέχονται, οἱ τὰ ὀλίγα ἔχον-
τες, καὶ οἱ τὰ πολλά. ἡ γὰρ προσθήκη τῶν ἐπεισιόντων μεί-
ζονα ἀνάπτει τὴν φλόγα. ἄξιον δὲ ἐστι ζητῆσαι, πῶς ἠγάπησεν
αὐτὸν ὁ σωτήρ, μὴ μέλλοντα ἐπὶ τὴν ζωὴν ἀκολουθεῖν. ἔστι δὲ
τοῦτο εἰπεῖν ὅτι ἐπὶ μὲν τῷ προτέρῳ ἀγάπης ἄξιος ἦν ὁ τὰ τοῦ
νόμου φυλάξας. καὶ ταῦτα ἐκ νεότητος. τῇ δὲ περὶ τὸ τέλειον
ὀλιγωρίᾳ τῆς ἐπὶ τῷ προσθεῖν ἀγάπης τελείαν οὐκ εἴασε γενέσθαι.
ὥσπερ οὐδὲ τὴν τελειότητα ἐδέξατο. τὸ γὰρ μὴ ἀκολουθῆσαι πρὸς
τὸ τέλειον, τῆς τελείας ἀγάπης ἀφείλετο, τὸν μὴ ἀκολουθήσ-
αντα. οὐ τὸ ἄπταιστον οὖν αὐτῷ μεμαρτύρηται. ἦν γὰρ ἂν ὑπ-

ερβεβηκὼς ἦν τὰ ἀνθρώπινα μέτρα· οὐδεμιᾷ ἔνοχος ὢν ἁμαρτίᾳ· ἀλ-
λὰ τὸ δυνατὸν ἀνθρώπῳ περὶ τὸ φυλάξασθαι τὸν νόμον, ἐκεῖνός τε
ἐμαρτύρησεν ἑαυτῷ καὶ ὁ Χριστὸς ἐπὶ τῇ δυνατῇ τῶν νόμων τηρή-
σει ἠγάπησεν. ” ἕν σοι ὑστερεῖ· ὕπαγε· ὅσα ἔχεις πώλη- “
σον, καὶ δὸς πτωχοῖς. καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ.” οὐ τὰ
χρήματα διαβάλλων τοῦτό φησιν, ἀλλὰ τοὺς πέρα τοῦ μέτρου κατ-
εχομένους ὑπ᾽ αὐτῶν. τί δήποτε δὲ τοῖς μαθηταῖς ἔλεγε, δυσκόλ-
ως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. πένησιν
οὖσι καὶ μηδὲν κεκτημένοις, παιδεύων αὐτοὺς μὴ αἰσχύνεσθαι τῇ
πενίᾳ, καὶ ὡσανεὶ ἀπολογούμενος αὐτοῖς, ὑπὲρ τοῦ μηδὲν ἐπιτρέ-
ψαι ἔχειν. εἰπὼν δὲ δυσκόλως, προϊὼν δείκνυσιν ὅτι καὶ ἀδύνατον. καὶ
οὐχ ἁπλῶς ἀλλὰ καὶ μετ᾽ ἐπιτάσεως ἀδύνατον. καὶ τοῦτο ἐκ τοῦ
παραδείγματος ἐδήλωσε. τοῦ κατὰ τὴν κάμηλον καὶ τὴν βελό-
νην. ὅθεν δείκνυται ὅτι οὐχ ὁ τυχὼν μισθὸς τοῖς πλουτοῦσι
καὶ δυναμένοις φιλοσοφεῖν. διὸ καὶ θεοῦ ἔργον ἔφησεν αὐτὸ εἶναι.
ἵνα δείξῃ ὅτι πολλῆς δεῖ τῆς χάριτος τῷ μέλλοντι τοῦτο κατορ-
θοῦν. πῶς δὲ δυνατὸν τοῦτο γίνεται. καὶ πῶς τὸ ἐκ τοῦ παρα-
δείγματος ἀδύνατον λύεται. παρ᾽ αὐτοῦ τοῦ σωτῆρος ἔστι μαθεῖν,
λέγοντος τοῖς πλουσίοις, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ Μαμωνᾶ
τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους
σκηνάς. πάντα δὲ δυνατὰ λέγων, ὁ λόγος παρὰ θεῷ, οὐχὶ τὰ
κακά φησιν, οὐ γὰρ ἐν τοῖς πᾶσι τοῖς θεῷ δυνατοῖς ἀριθμεῖται
τὰ κακά. ὅπου γὰρ ὁ θεὸς εἴρηται. τὸ καλὸν ἕπεται. καὶ οὐδ᾽
ἂν ἐννοῆσαί τις δύναιτο. ὅτι τὰ κακὰ τῷ θεῷ δυνατά. οὐδὲ ἀδ-

υζημίαν ἔχοι ἄν, τὸ κακὰ μὴ ποιεῖν. ἀσθένεια γὰρ τοὐναντίον ἡ τῶν κακῶν ποίησις. τίνος δὲ ἕνεκεν οἱ μαθηταὶ ταράσσονται πένητες ὄντες; ἢ δῆλον ὅτι ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας ἀλγοῦσι. ὅταν δὲ λέγῃ ὃς ἀφῆκε γυναῖκα, οὐ τοῦτό φησιν ὥστε διασπᾶσθαι τοὺς γάμους, ἀλλ' ὥσπερ ὅταν λέγῃ ὅτι ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. οὐχ ἵνα ἑαυτοὺς ἀναιρῶμεν φησὶν, οὐδ' ἵνα ἐντεῦθεν χωρίζωμεν αὐτὴν ἀπὸ τοῦ σώματος, ἀλλ' ἵνα πάντων προτιμῶμεν τὴν εὐσέβειαν, τοῦτο δὲ ἐπὶ γυναικὸς καὶ τῶν ἄλλων φησίν. δοκεῖ δέ μοι καὶ τοὺς διωγμοὺς ἐνταῦθα αἰνίττεσθαι. ἐπειδήπερ γὰρ πολλοὶ ἦσαν καὶ πατέρες εἰς ἀσέβειαν ἕλκοντες παῖδας, καὶ γυναῖκες ἄνδρας, ἡ δὲ τῶν πολλαπλασιόνων ἀπόλαυσις κατὰ τὴν κοινωνίαν ἐστὶν, οὐ κατὰ τὴν κτῆσιν. ἡ γὰρ ἀγάπη πᾶσαν ἐπλήρωσεν οἰκειότητα τοῖς ἰδίοις. καὶ πᾶσαν χρείαν ὅσην ἂν οἰκίαι καὶ ἀγροὶ παρέχοιεν. προστέθεικε δὲ ὁ Λουκᾶς περὶ γυναικῶν. ὥσπερ γὰρ ἀδελφοὺς δίδωσι τοὺς οὐκ ἀδελφοὺς, καὶ γονεῖς τοὺς οὐ γονεῖς, καὶ τέκνα τὰ οὐ τέκνα, οὕτω καὶ γυναῖκα τὴν οὐ γυναῖκα. ἑτέρῳ δὲ τρόπῳ δηλαδή. πνευματικῶς τὴν οἰκειότητα ἐκπληροῦν οὐ σωματικῶς. ἀπολείπειν δὲ τὸ κατὰ σάρκα γένος, ἀγαθόν ἐστι διὰ τὴν πνευματικὴν ζωήν. ἀδιάφορον δὲ τὸ λέγειν διὰ τοῦ ἐμοῦ ὀνόματος ἢ ἕνεκα τοῦ εὐαγγελίου, ὡς οὗτός φησιν ὁ Μάρκος, ἢ ἕνεκα τῆς βασιλείας τοῦ θεοῦ, ὡς ὁ Λουκᾶς. τότε γὰρ ὄνομα τοῦ Χριστοῦ, δύναμίς ἐστι τοῦ εὐαγγελίου καὶ τῆς βασιλείας, τότε εὐαγγέλιον εἰς ὄνομα ἀνήρτηται τοῦ Χριστοῦ καὶ ἡ βασιλεία τοῦ θεοῦ. διὰ τοῦ ὀνόματος αὐτοῦ γνωρίζεται. καὶ παραγίνεται.

προστέθεικε δὲ

προστίθησι δὲ οὗτος καὶ τὸ μετὰ διωγμὸν ἔχειν τὰ πολλαπλασίονα
νῦν· καθὸ διὰ τὴν εὐσέβειαν, πολλοὺς εὑρήσει γνησιωτέραν αὐτῷ
πολλάκις τὴν διάθεσιν ἀπονέμοντας. δεικνὺς δὲ ὅτι τῶν πρώτων εἶ-
ναι δοκούντων ἔσονται πρῶτοι οὗτοι, οἱ εἰς αὐτὸν πιστεύοντες,
καὶ τὰ αὐτῶν ἀφέντες, ἐπήγαγε· "πολλοὶ δὲ ἔσονται πρῶτοι"
ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι". ἐνταῦθα δέ μοι δοκεῖ πρώτους"
τοὺς Φαρισαίους αἰνίττεσθαι. "καὶ παραλαβὼν τοὺς δώδεκα"
ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν", προλέγει τοῖς"
μαθηταῖς ἀναγκαίως ταῦτα, ἵνα γινώσκοιεν ὅτι προειδὼς, οὐκ ἀγ-
οῶν πέπονθεν, καὶ οὐκ ἄκων, ἀλλ' ἑκὼν ἐπὶ τοῦτο βαδίσας, διὸ καὶ
πολλάκις τὸ τοιοῦτον προηγόρευσε, καὶ ὡς ἐγίνετο. οὗτοι γὰρ
καὶ τῆς προγνώσεως ἄξιοι, καὶ τοῦ μὴ θορυβηθῆναι τοῖς πάθεσιν.
ὅθεν χωρὶς αὐτοῖς διαλέγεται, πολλῶν καὶ ἄλλων συνοδοιπορούντων
καὶ λέγει σαφῶς τὰ ἐσόμενα, καὶ αὐτὸ τὸ ἐμπτυσθῆναι, καὶ ἀπο-
μνημονεύσας ἵνα μηδὲν εἴη παρασεσιωπημένον· ὃ διὰ τὸ μὴ προεγνῶ-
σθαι ταράξει τοὺς ἐξαίφνης ὁρῶντας. ἀναγκαίως δὲ προσαπεμνημόνευ-
σεν ὁ Λουκᾶς. καὶ τὸ τελεσθῆναι πάντα τὰ γεγραμμένα διὰ τῶν
προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου. μέγιστον γὰρ εἰς παραμυθίαν.
τὸ δὲ διὰ τῶν προφητῶν προειρῆσθαι, τὸν σωτῆρα τοιαῦτα μέλλοντα
παθεῖν. ἵνα ὅταν τὰ σκυθρωπὰ ταῦτα ἐξέλθῃ, καὶ τὴν ἀνάστασιν
προσδοκήσωσιν. ὁ γὰρ τὰ λυποῦντα οὐκ ἀποκρυψάμενος, καὶ δοκοῦντα
εἶναι ἐπονείδιστα, εἰκότως ἔμελλε καὶ περὶ τῶν λοιπῶν πιστεύεσθαι.
"καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου,"
λέγοντες, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν". Ματθαῖος"

φησὶν ὅτι ἡ μήτηρ προσῆλθεν. εἰκὸς δὲ ἀμφότερα ταῦτα γενέσθαι·
τὴν γὰρ μητέρα παρέλαβον ὡς μείζονα τὴν ἱκετηρίαν ἐργασόμενοι,
καὶ ταύτῃ τὸν χριστὸν δυσωπήσοντες. ὅτι γὰρ τοῦτο ἦν, καὶ
αὐτῶν μᾶλλον ἡ αἴτησις ἦν. καὶ αἰσχυνόμενοι προβάλλονται τὴν
τεκοῦσαν. σκόπει πῶς πρὸς αὐτοὺς ἀποτείνει τὸν λόγον ὁ κύ-
ριος. τί δὲ πρότερον αἰτοῦσι, καὶ ἀπὸ ποίας γνώμης, εἴτε
αὐτοί, εἴτε ἡ μήτηρ, καὶ πόθεν ἐπὶ τοῦτο προῆλθον, ἐροῦμεν.
ἑώρων αὐτοὺς τιμωμένους παρὰ τοὺς ἄλλους, καὶ προσεδόκη-
σαν ἐντεῦθεν ἐπιτεύξασθαι τῆς αἰτήσεως. τί ποτε δέ ἐστιν
ὃ αἰτοῦσιν, ἀκούσαντες αὐτοῦ λέγοντος περὶ τῆς ἑαυτοῦ βασιλείας,
ἐνόμιζον ὅτι μετὰ τὴν βασιλείαν αὐτοῦ, οὐ ταῦτα ἔσται αὐ-
τοῖς, περὶ αἰσθητῆς δὲ ὑπώπτευον βασιλείας, διὰ τοῦτο γοῦν
προσῆλθον καὶ νῦν ταῦτα ἀξιοῦντες. οὐκ ἀγνοῶν δὲ ὁ σωτὴρ
τὸ τί αἰτῆσαι βούλονται φησί, "τί θέλετε" ἀλλ' ἵνα ἀναγ-
κάσῃ αὐτοὺς ἀποκρίνασθαι καὶ οὕτω διδάξῃ. οἱ δὲ αἰσχυνόμε-
νοι ἐπειδὴ ὑπὸ πάθους ἀνθρωπίνου πρὸς τοῦτο ᾖσαν, κατιδίαν
ἐκτὸς τῶν μαθητῶν λαβόντες αὐτόν, ᾔτησαν. τί οὖν ὁ σω-
τήρ, δηλῶν ὅτι οὐδὲν πνευματικὸν ᾔτουν, οὐ γὰρ ἂν ἐτόλμη-
„ σαν τοσοῦτον αἰτῆσαι, φησίν, "οὐκ οἴδατε τί αἰτεῖ-
„ σθε. ὑμεῖς δὲ περὶ τιμῆς ἀξιοῦτε, ἐγὼ δὲ περὶ ἀγώνων
καὶ ἱδρώτων ὑμῖν διαλέγομαι. οὐ γάρ ἐστιν οὗτος ὁ τῶν ἐπ-
άθλων καιρός, ἀλλὰ σφαγῆς καὶ πολέμων καὶ κινδύνων. εἰπὼν δὲ.
„ "δύνασθε πίνειν πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω" τῷ τρόπῳ τῆς
ἐρωτήσεως ταύτης ἐφέλκεται αὐτούς. ἵνα τῇ πρὸς αὐτὸν κοινωνίᾳ
προθυμότεροι γένωνται. τὸ αὐτὸ δὲ καλεῖ καὶ βάπτισμα. δεικνὺς
μέγαν ἀπὸ τῶν γινομένων τὸν καθαρμόν. αὐτοῖς μὲν τὸν ἑαυτοῦ

τῇ οἰκουμένῃ δὲ τοὶ ἀπὸ τοῦ σταυροῦ· οἱ δὲ εὐθέως ἐπηγγείλαντο
εἰπόντες, δυνάμεθα, προσδοκῶντες ἀκούσεσθαι ὅπερ ᾐτήσαντο· ἐπειδὴ
δὲ ταῦτα εἶχον, δεικνὺς ὅτι οὐκ ἀλαζονεία τὰ εἰρημένα· φησὶ, τὸ
μὲν ποτήριον πίεσθε καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθή-
σεσθαι· τουτέστι μαρτυρίου καταξιωθήσεσθε· καὶ ταῦτα πείσεσθε
ἅπερ ἐγώ· δοτο τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων· οὐκ ἔσ-
τιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασθαι παρὰ πατρός μου· τί ποτε
ἐστὶ τὸ εἰρημένον· δυσχερῆ τὰ ἀπορούμενα· ἓν μὲν, εἰ ἡτοίμασται
τινὶ τὸ καθίσαι ἐξ δεξιῶν αὐτοῦ· ἕτερον δὲ εἰ ὁ πάντων κύριος
ἐκείνοις οἷς ἡτοίμασται, κύριος οὐκ ἔστι παρασχεῖν· πρὸς μὲν οὖν
τὸ πρότερον ἐροῦμεν, ὡς οὐδεὶς ἐκ δεξιῶν αὐτοῦ ἢ ἐξ ἀριστερῶν κά-
θηται· ἄβατος γὰρ πάσῃ τῇ κτίσει ὁ θρόνος ἐκεῖνος· πῶς οὖν
φησι καθίσαι ἐκ δεξιῶν μου, καὶ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦ-
ναι; ὡς οὐκ ὄντων καθεδουμένων τινῶν· ἀλλὰ πρὸς τὴν ὑπόνοιαν
τῶν ἐρωτώντων ἀποκρίνεται, συγκαταβαίνων αὐτῶν τῇ διανοίᾳ·
οὐ γὰρ ᾔδεσαν τὸν ὑψηλὸν θρόνον ἐκεῖνον καὶ τὴν ἐκ δεξιῶν τοῦ
πατρὸς καθέδραν· ἀλλ' ἓν ἐζήτουν μόνον τὸ τῶν πρώτων ἀπολαῦ-
σαι, καὶ πρὸ τῶν ἄλλων εἶναι· ἐπειδὴ γὰρ ιβ θρόνους ἤκουσαν,
ἀγνοήσαντες τί ποτέ ἐστι τὸ εἰρημένον, τὴν προεδρίαν ἐπεζήτη-
σαν· παραπεμπόμενος οὖν αὐτοὺς οἰκονομικῶς ὁ σωτὴρ, ὥστε μὴ
ὑπὲρ πραγμάτων ἐνοχλεῖν εἰκῇ καὶ μάτην· ὁμοῦ δὲ καὶ μὴ λυπῆσαι
βουλόμενος, ἀμφότερα ταῦτα ~~καθορ~~ κατορθοῖ· καὶ οὐ τοῦτό φησιν
ὅτι τὸν υἱὸν ὑπερβέβηκεν ἡ τοιαύτη δόσις, ἀλλ' ἴσον, τὸ ἡτοι-
μάσθαι ὑπὸ τοῦ πατρὸς, ὥστε ἔλεγεν ὑπ' ἐμοῦ· ὅθεν ὁ Μάρκος

οὐδὲ εἴρηκε τὸ ὑπὸ τοῦ πατρός μου. ὁ δὲ φησιν ὁ σωτὴρ πρὸς αὐτούς, τοῦτό ἐστιν, ἀποθανεῖσθε μὲν δι' ἐμὲ, καὶ κοινωνήσετέ μοι κατὰ τὸ πάθος. οὐ μὴν ἀρκεῖ τοῦτο ποιήσαντας τὴν πρώτην τάξιν ὑμᾶς καταλαβεῖν. ἂν γάρ τις ἕτερος ἔλθῃ μετὰ τοῦ μαρτυρίου, καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν κεκτημένος πολλῷ πλείονα ὑμῶν, οὐκ ἐπειδὴ φιλῶ ὑμᾶς καὶ τῶν ἄλλων προκρίνω, διὰ τοῦτο παρωσάμενος ἐκεῖνον, ὑμῖν δώσω τὰ πρωτεῖα. ἐκείνοις γὰρ ἡτοίμασται τοῖς ἀπὸ τῶν ἔργων δυναμένοις γενέσθαι λαμπροτέροις.

„Καὶ ἔρχονται εἰς ἱεριχὼ καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ ἱεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ. υἱὸς Τιμαίου βαρτιμαῖος ὁ τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. καὶ ἀκούσας ὅτι ὁ ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν, καὶ λέγειν, ὁ υἱὸς Δαβὶδ ἰησοῦ ἐλέησόν με.

τὸ μὲν οὖν τυφλότητος ἴασιν γεγονέναι κατὰ τὴν ὁδὸν συμφωνεῖ τῷ Ματθαίῳ καὶ Λουκᾷ, ἕνα δὲ τυφλὸν οὗτος φησὶ καὶ Λουκᾶς. Ματθαῖος δὲ δύο. τοῦτο δὲ οὐδὲν πρὸς διαφωνίαν τῆς ἱστορίας φύει. ἐνδέχεται γὰρ τοῦ ἐπιφανεστέρου μνήμην τοῦτόν τε καὶ τὸν Λουκᾶν πεποιῆσθαι. ὅνπερ καὶ ὀνόματι δεδήλωκεν οὗτος ὁ Μάρκος τὸν υἱὸν Τιμαίου Βαρτιμαῖον τὸν τυφλὸν εἰπὼν, ὡς ἐπιφανῆ τότε ὄντα, υἱὸν δὲ Δαβὶδ ἐκάλει ὁ τυφλὸς τὸν κύριον τὴν διατρέχουσαν ἐν τῷ λαῷ φήμην ἀκούων καὶ τὴν προσδοκίαν τὴν ἐκ τῶν προφητῶν πεπεισμένος. ἠρώτησε δὲ ὁ σωτὴρ τὸν τυφλόν. „τί θέλεις ποιήσω σοι, ἵνα μή τις νομίσῃ ἄλλο τι βουλομένῳ λαβεῖν ἄλλο διδόναι αὐτόν. καὶ γὰρ ἔθος αὐτῷ πανταχοῦ τὴν προαίρεσιν

πρότερον

πρότερον τῶν θεραπευομένων, καταδῆλον ποιεῖ ἅπασι· καὶ τότε
ἐπάγει τὴν ἰατρείαν, ἵνα καὶ τοὺς ἄλλους εἰς ζῆλον ἀγάγῃ· ἵνα
δείξῃ τῆς δωρεᾶς ἀξίως ἀπολαβόντας.” Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσα-
λήμ, εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέ-
λλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν
κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν.
εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς ἀνθρώπων κεκάθικε· λύσαν-
τες αὐτὸν ἀγάγετε.” Πολλάκις ἐπέβη τῶν Ἱεροσολύμων πρότερον,
ἀλλ' οὐδέποτε μετὰ τοσαύτης περιφανείας· καὶ γὰρ προοίμια ἦν
καὶ οὔτε αὐτοῖς καταδῆλος ἦν, οὔτε καιρὸς τοῦ παθεῖν ἐγγύς· διό-
περ ἀδιαφορώτερον αὐτοῖς ἐμίγνυτο, καὶ μᾶλλον κρύπτων ἑαυτόν.
οὕτω γὰρ μᾶλλον ἐθαυμάσθη φαινόμενος. οὕτω καὶ εἰς μείζονα
αὐτοὺς ἐξήγαγεν ὀργήν. ἐπειδὴ δὲ καὶ τῆς ἑαυτοῦ δυνάμεως πεῖραν
ἔδωκεν ἱκανήν. καὶ ὁ σταυρὸς ἐπὶ θύραις ἦν, μειζόνως ἐκλάμπει
λοιπὸν καὶ μετὰ πλείονος ἅπαντα πράττει περιφανείας, τὰ μέλλον-
τα αὐτοὺς ἐκβαίνειν. καὶ σημεῖον δὲ τὸ γινόμενον ἦν. οὐ γὰρ ἀπὸ
τοῦ ὄρους τῶν ἐλαιῶν εἰς Ἱερουσαλὴμ εἰσιόντι τῷ κυρίῳ χρεία τις
ἐπ' ὄνου καθέζεσθαι· ὃς τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν ἅπασαν διῄει
πεζός· ἀλλὰ καὶ ἔποχον αὐτὸν ἐπὶ τοῦ πώλου θεωρεῖσθαι, δηλοῖ,
τὸ ἐπὶ τοῦ νέου λαοῦ καθέζεσθαι τὸν οὐράνιον ἡγεμόνα, καὶ βασιλέα
τῆς εἰρήνης ἤτοι Ἱερουσαλήμ. καὶ τὸ μὲν νέον τῆς κλήσεως ἐδήλω-
σεν ὁ πῶλος, ἀλλὰ καὶ τὸ πάλαι μὴ καθαρὸν τῶν νῦν καλουμέ-
νων. ὄνος γὰρ οὐ καθαρὸν κατὰ τὸν νόμον. “Εὗρον δὲ οἱ ἀπεσταλ-
μένοι τὸν πῶλον δεδεμένον, πρὸς τὴν θύραν ἔξω τῆς ἀμφόδου”

ξένα γὰρ ὄντα τὰ ἔθνη καὶ ἀλλότρια τῶν διαθηκῶν τῆς ἐπαγγελίας τοῦ θεοῦ, ἐπὶ ἀμφόδου· οὐκ ἐπὶ στέγης ἦσαν· οὐκ ἔνδον, ἀλλ᾽ ἔξω τοῦ εἰπόντος· ἐγώ εἰμι ἡ θύρα, ἧς ἔνδον δεσμὸς κακίας οὐ γίνεται· ἐστήκασι δὲ παρὰ τῷ δεδεμένῳ πώλῳ. ἢ ὡς ὁ Λουκᾶς γράφει κύριοί εἰσι τοῦ πώλου οἱ ὑποταξάντες καὶ δήσαντες τὸν ἁμαρτόντα λαόν· οἳ οὐ δύνανται ἀντιβλέψαι τῷ ἀληθινῷ κυρίῳ ἀφέλκοντι τοῦ δεσμοῦ αὐτόν, τῇ διπλῇ ἐπιστήμῃ τῶν ἑαυτοῦ γνωρίμων. οὐ κάθηται δὲ ἐπὶ γυμνοῦ τοῦ πώλου· ἀλλ᾽ ἐπὶ τὰ ἱμάτια τῶν ἀποστόλων. ἐπεὶ γὰρ τὸν πῶλον ἐλ° ἅπαντα λοιπὸν προΐενται. σκόπει δὲ τὸ εὐήνιον τοῦ πώλου· πῶς ἀδάμαστος ὢν καὶ χαλινοῦ ἄπειρος, εὐτάκτως ἐφέρετο· δηλοῖ δὲ τὸ καταπειθὲς τῶν ἐθνῶν· καὶ τὴν ἀθρόαν εἰς εὐταξίαν μεταβολήν. εἶτα ἀπὸ τῶν σημείων ἐπεγνωκότες τὸν κύριον οἱ ὄχλοι εὐφημίαν ἐποιοῦντο εἰς αὐτόν, καὶ υἱὸν εἶναι Δαβὶδ καὶ χριστόν, πιστεύσαντες τό εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου κατὰ τὸν ψαλμὸν ἐβόων· τὸ γὰρ ὡσαννὰ ὕμνος ἑρμηνεύεται. τὸ δὲ εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι κυρίου τοῦ πατρὸς ἡμῶν Δαβίδ, ἄριστα εἴρηται· πολλαχοῦ γὰρ οἱ προφῆται τὴν κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν βασιλείαν ἐπ᾽ ὀνόματι Δαβὶδ ἔφασαν ἔρχεσθαι· Δαβὶδ τὸν χριστὸν ἐπονομάσαντες, διὰ τὸ ἐκ Δαβὶδ αὐτὸν κατὰ σάρκα γνωρίζεσθαι. δόξαν οὖν ἀναπέμπουσι τῷ ἐρχομένῳ ἐν ὀνόματι κυρίου, εὐλογοῦσι δὲ τὴν βασιλείαν αὐτοῦ, καὶ ἐπὶ πᾶσι θεῷ τῷ ἐν ὑψίστοις τὴν δοξολογίαν ἀναπέμπουσι καθὰ ἐννοεῖν ἐδύναντο.

ʺ καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ

Βηθανίας ἐπείνασε. καὶ ἰδὼν συκῆν μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν
εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ. Ματθαῖος τὸ πρωῒ προστίθησι,
πρωῒ δὲ πεινᾷ, ἐπειδὴ συνεχώρησε τῇ σαρκὶ τοῦτο. οὗτος δὲ
λέγει ὅτι ἦλθεν εἰ ἄρα εὕρῃ τι αὐτῇ καρπόν. ὅθεν δῆλον ὅτι
τῆς ὑπονοίας αὐτῶν ἦν τοῦτο. καὶ γὰρ καὶ τὰς ὑπονοίας τῶν
μαθητῶν γράφουσιν οἱ εὐαγγελισταί. οὕτω δὲ καὶ τὸ νομίζειν, διὰ
τοῦτο αὐτὴν καταρᾶσθαι. κατηράσθη δὲ τῶν μαθητῶν ἕνεκεν,
ἵνα θαρρῶσιν. ἐπειδὴ γὰρ πανταχοῦ μὲν εὐεργετεῖ, οὐδένα δὲ ἐκό-
λασεν, ἔδει δὲ καὶ τῆς τιμωρητικῆς αὐτοῦ δυνάμεως ἀπόδειξιν παρα-
σχεῖν, ἵνα μάθωσιν ὅτι δυνάμενος ξηρᾶναι Ἰουδαίους ἑκὼν συγχωρεῖ
καὶ οὐ ξηραίνει, ἐπειδὴ τοῦτο οὐκ ἐβούλετο εἰς ἀνθρώπους ἐνδείξα-
σθαι, εἰς τὸ φυτὸν τῆς ἐνεργείας αὐτοῦ τὴν ἀπόδειξιν ταύτην πα-
ρέσχετο. ἐντεῦθεν δὲ δῆλον, ὅτι προηγουμένως εἰς τοῦτο ἦλθεν, οὐ
διὰ τὴν πεῖναν, ἀλλὰ διὰ τοὺς μαθητάς. οὐ γὰρ ἦν καιρὸς σύκων.
τίς γὰρ οὕτως εὐηθὴς ὥστε ὑπολαβεῖν ὅτι ἐν πρωϊνῷ καιρῷ τοσοῦτον
ἠπείγεται πεινῶν, ἢ εἴπερ ἐπείνα, καὶ τὸ ἐσθίειν τότε ἐνόμιζεν ἀδεές.
τί τὸ κωλῦον ἦν αὐτὸν φαγόντα τῆς οἰκίας ἐξελθεῖν. οὐδὲ γὰρ ἔν-
εστιν εἰπεῖν ὡς ἡ τοῦ καρποῦ θέα πρὸς πεῖναν αὐτὸν ἐξεκαλέσατο.
οὐ γὰρ ἦν καιρὸς σύκων. πεινῶν δὲ πῶς οὐχ ἑτέρωθεν ἐζήτει τρο-
φήν, ἀλλ' ἀπὸ τῆς συκῆς ἣν οὐ δυνατὸν ἔχειν πρὸ τοῦ καιροῦ τὸν
καρπόν. ποίας δὲ ἀγανακτήσεως ἦν ἄξιον, τὸ μὴ ἔχειν αὐτὴν καρ-
πὸν πρὸ καιροῦ. ὥστε ἄν τις ἱκανῶς ἐκ τούτων συλλογίσαιτο, ὅτι
πεινᾷ μὲν οὐκ ἦν, πρόσχημα δὲ ἦν πείνης (πεινῆν) οἰκείαν ἐνδεικνυμένου
δύναμιν, εἰς τὸ μὴ οἴεσθαι αὐτοὺς ἀπονίᾳ τὸ πάθος αὐτὴν ανα-

δέξασθαι. διὰ τοῦτο καὶ φυτὸν ἐπιλεξάμενος ὃ κἂν ἐπιτιμοί τις, οὐ ῥᾳ-
δίως τὴν ἔμφυτον ὑγρασίαν ἀποτίθεσθαι πέφυκε, τοῦτο διὰ μό-
νης ἐξήρανε τῆς ἐπιτιμήσεως, ἄλλος δέ φησιν ὅτι τὴν μέλλουσαν
κατὰ τῆς ἱερουσαλὴμ κρίσιν, ἐπὶ τῆς συκῆς ἔδειξε, φύλλα δὲ
εἶχε μόνον, ἅτε δὴ καὶ ἔαρος ὄντος. καὶ δοκεῖ μὲν κατὰ χρείαν
τροφῆς ἐπ' αὐτὴν ἐληλυθέναι. σύμβολον δὲ ποιεῖ τὸ εἰρημένον,
ὥσπερ καὶ ἄλλα ποιεῖ συμβολικὰ καὶ συνέτρεχεν ἡ πεῖνα τῷ
συμβόλῳ τοῦ σώματος τοῦ ἁγίου, φύσεώς τε καὶ κινήσεως με-
ταλλόντος, πρὸς τὰς τῶν πραγμάτων οἰκονομίας. τε καὶ ἐνδείξεις
οὐ γὰρ ἀγνοεῖν δήπουθεν οἷόν τε ἦν αὐτόν, ὅτι καρπὸν εἰς βρῶ-
σιν οὐκ ἂν ἔχοι κατ' ἐκεῖνον τὸν καιρὸν ἡ συκῆ, ἀλλ' ἐμφαί-
νεται τῷ πράγματι, τό, ὥσπερ εἰς βρῶσιν εἶναι τοῦ κυρίου τὴν
τῶν ἀνθρώπων σωτηρίαν, τὸ μὲν οὐκ εὐθαλὲς τῆς συκῆς τὴν δό-
ξαν δείκνυσι τῆς ἱερουσαλήμ, τὸ δὲ ἄκαρπον τὴν κακίαν καὶ ἀ-
πιστίαν. ἡ δὲ ἀκαιρία τοῦ καρποῦ, τὴν ἀκαιρίαν τῆς τότε σωτη-
ρίας τῆς ἱερουσαλήμ. τὴν δὲ ἀκαιρίαν ταύτην ἐπήγαγεν ἑαυτῇ.
διὸ καὶ μέμψιν καὶ κατάραν ὑφίσταται. οὐ δήπου πρὸς τὴν συκῆν
ὀργιζομένου τοῦ κυρίου ὅτι μὴ καρποφοροίη καὶ ταῦτα παρὰ
καιρόν. ἀλλ' ἐν τῷ δένδρῳ τὸ τῆς πόλεως ἐπιδεικνύντος. τὸ δὲ
μηκέτι καρπὸν ἄγειν τὴν ἱερουσαλὴμ οὐκ ἀπολείπει τῆς καινο-
ουργηθησομένης καρποφορίας. ἣν ἡ δοθησομένη αὐτοῖς χριστοῦ γνῶ-
σις παρέξει οἱονεὶ κατά τινα ἐγκεντρισμὸν δοθησομένου [μένης] τῇ
ἱερουσαλὴμ τῆς ἀποστολικῆς δυνάμεως εἰς τὸ καρποφορῆσαι. οὐ γὰρ
ἐξ αὐτῆς ὁ καρπὸς ἐκεῖνος, ἀλλ' ἐκ τῆς νέας ~~καὶ προ~~ προσγινομένης [ος]
γνώσεως. ἣν ὡς ἔξωθεν καὶ ἀπὸ τῆς ἐξ ἐθνῶν ἐκκλησίας προστιθε-
μένην λήψ-

προστιθεμένην λήψεται. ἔτι δὲ καὶ ἄλλως νοῆσαι τὸ παρὰ καιρὸν ζητῆσαι σῦκα τὸν κύριον, καὶ μὴ εὑρόντα ἠγανακτηκέναι, καὶ καταράσασθαι τῇ συκῇ. ἔστιν οὖν εἰπεῖν ὅτι ὅσοι μὲν τὰς κειμένας ἐντολὰς πληροῦσιν, οὗτοι κατὰ καιρὸν λέγονται καρποφορεῖν καρπογονεῖν. οἷον τῆς ἐντολῆς ἐχούσης τὸ οὐ μοιχεύσεις, ὁ μὴ μοιχεύων κατὰ καιρὸν ἐκαρπογόνησεν. ὅσοι δὲ καὶ ὑπὲρ [ἀπὸ] τὴν ἐντολὴν ἐργάσονται, οὗτοι παρὰ καιρὸν καρπογονοῦσιν. οἷον τῆς ἐντολῆς ἐχούσης τὸ οὐ μοιχεύσεις, ὁ μὴ μόνον μὴ μοιχεύων, ἀλλὰ καὶ παρθενεύων, οὗτος περὶ καιρὸν ἐκαρπογόνησε. καὶ ἐπὶ πάσης τῶν ἀρετῶν τὸ αὐτὸ σκοπεῖν χρή. ὁ γὰρ κύριος παρὰ τῶν τελείων, οὐ μόνον τὰς ἐντολὰς φυλάττεσθαι ζητεῖ, ἀλλὰ καὶ ὑπὲρ [ἀπὸ] τὴν ἐντολὴν οἴκοθεν καρπογονεῖν ἀπαιτεῖ, ὡς μὴ νηστείαν παρὰ τοῦ Ἠλίου μ' ἡμερῶν, καὶ παρὰ Μωυσέως τὸ μηδαμῶς ἀνθρώπινόν τι παθεῖν καὶ διστάσαι.

"καὶ ἔρχονται εἰς ἱεροσόλυμα, καὶ εἰσελθὼν ὁ ἰησοῦς εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας, καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ."

ὁ μὲν ἰωάννης ἐν ἀρχῇ τοῦ εὐαγγελίου γεγονέναι τοῦτό φησιν. οὗτος δὲ πρὸς τῷ τέλει. ὥσπερ καὶ ὁ Ματθαῖος. ὅθεν εἰκὸς δεύτερον γεγενῆσθαι τοῦτο καὶ κατὰ διαφόρους καιρούς, καὶ δῆλον ἀπὸ τῶν χρόνων καὶ ἀπὸ τῆς ἀποκρίσεως. ἐκεῖ μὲν γὰρ ἐν τῷ πάσχα παρεγίνετο ταῦτα δὲ πρὸ πολλοῦ, περὶ γὰρ τῶν χρόνων. οὐ πάντα τοῖς τρισὶν εὐαγγελισταῖς ἠμέληται ἐν τῇ διηγήσει τῆς ἀνόδου τῆς ἱερουσαλήμ. ὁ δὲ ἰωάννης ἀκριβέστερον τὸ τοιοῦτον ἱστορήσας ἐν τῇ πρώτῃ ἀνόδῳ ταῦτα πεπρᾶχθαι φησὶ καίτοι ἐν τῷ πάσχα τὸ πάθος ἱστορεῖ γεγονός. τοῦ γὰρ ἱστορῆσαι τὸ πρᾶγμα μόνον,

ἐμέλησε τοῦ ἄλλου καὶ τὰς διαφόρους ἀνόδους μίαν πεποιήκασιν.
εἰσελθὼν τοίνυν ἐν τῷ ἱερῷ τούς τε πιπράσκοντας βόας καὶ περιστερὰς
τῶν θυσιῶν ἕνεκα, ἐξέβαλε καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν
καὶ τὰς τραπέζας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε λέγων
" ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν. ὑμ-
" εῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν" καὶ λῃστὰς μὲν τοὺς
ἐμπόρους φησί, διὰ τὸ λῃστρικὸν τῆς φιλοκερδείας. λαμβάνοντες
γὰρ βόας καὶ τρυγόνας καὶ περιστερὰς ἐπίπρασκον. ἕτεροι δὲ ἀργύ-
ρια προυτίθεσαν λεπτὰ πρὸς τὴν τῶν μειζόνων ἀλλαγήν. "καὶ
" ὅτε ὀψὲ ἐγένετο ἔξω τῆς πόλεως, καὶ πρωῒ παραπορευόμενοι, εἶδον
" τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν" ἀκριβέστερον δὲ ὁ παρὼν εὐαγγε-
λιστὴς ἀπομνημονεύει τῆς ἱστορίας· ἐν τῇ ἐφεξῆς ἡμέρᾳ λέγων, τε-
θεωρῆσθαι ὑπὸ τῶν μαθητῶν ἐξηραμμένην τὴν συκῆν, ἐπανιόντων πά-
λιν ἐπὶ τὴν πόλιν ἀπὸ τῶν προαστείων· ὁ δὲ Ματθαῖος παρέδραμε τὸ
ἀκριβὲς τοῦ καιροῦ εἰπὼν παραχρῆμα τὴν συκῆν ἐξηράνθη· καὶ τεθαυμα-
κέναι τοὺς μαθητάς. παραχρῆμα δὲ λέγοιτ' ἄν· καὶ εἰς αὔριον τὸ πρᾶγ-
μα γνωσθέν. παρασκευάζει τοίνυν τοὺς μαθητάς· διὰ τοῦτο θαρρεῖν
πίστει τε καὶ ἔκπληξιν μὴ δεδοικέναι· τὸ γὰρ θαυμάσαι οὐκ ἦν ἀπὸ πίσ-
τεως· οὐδὲ γὰρ τοῦτο τῷ θεῷ μέγα τοῦτο· ἐπεὶ οὖν οὐκ ᾔδεισαν
σαφῶς αὐτοῦ τὴν δύναμιν, λανθανόντως ἀπάγει τῆς ἀπιστίας αὐτούς.
καὶ δείκνυσιν ἡλίκον ἐστὶ τὸ τῆς πίστεως· ὥστε μὴ μόνον ξύλον ἀπο-
ξηρανθῆναι τεθηλός, ἀλλὰ καὶ ὄρος μετακινῆσαι προστάγματι. καὶ πάν-
τα πληροῦν ὅσα ἄν τις αἰτήσαιτο· δῆλον δὲ ὡς οὐκ ἀχρεῖον τοῦ-
τον ἕκαστον ἐπαγγέλλεται χριστός· οὐδὲ οἷον ἐπὶ θαυματουργίᾳ κινῆ
καθάπερ ἀξιοῦσιν οἱ τὰ τοιαῦτα ἀπαιτοῦντες· καὶ κελεύοντες κινεῖν

τῶν τυχόντων τι καὶ βραχυτάτων, ὡς ἐπὶ ἐλέγχῳ τῆς ἐπαγγελίας
τῆς περὶ τοῦ ὄρους· οὔτε γὰρ ὄρος, οὔτε κάρφος ἀχρεῖος μετακι-
νηθείη ἂν κατὰ δύναμιν θεοῦ· ὡς οὐδὲ τὴν συκῆν ἐξήρανεν· ἀλλ'
ἐπὶ σημείῳ τῆς ἱερουσαλὴμ μελλούσης ἀκαρπίας· καὶ πρὸς ἔνδειξιν τῆς
ἑαυτοῦ δυνάμεως· ἕπεται δὲ καὶ τῇ πίστει τῇ τελείᾳ, καὶ τὰ τῆς ἀρ-
ετῆς, ἤτοιγε ἐπ' ἀρχῆς κατορθούμενα, ἢ ἐκ μετανοίας κατορθούμενα·
εἰ γοῦν τὸ ἐκ μετανοίας καθαρὸν ὑμῖν παρείη, καὶ τῆς ἀφέσεως ἐπιτυχ-
άνοιτε, διδόντες τὸ ἐνδόσιμον, τῇ παρὰ θεοῦ ἀφέσει διὰ τῆς πρὸς
ἀνθρώπους ἀφέσεως. "Καὶ ἔρχονται πάλιν εἰς ἱεροσόλυμα καὶ
ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς
καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι καὶ λέγουσιν αὐτῷ· ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιεῖς." Ὅτε μὲν ἐξέβαλεν αὐτοὺς οὐκ ἐτόλμη-
σαν εἰπεῖν οὐδὲν διὰ τὰ θαύματα ἃ ἔφη ὁ Ματθαῖος αὐτὸν πε-
ποιηκέναι ἐν τῷ ἱερῷ· ἐπειδὴ δὲ ὤφθη πάλιν, τότε ἐπιτιμῶσι μόνο-
νουχὶ λέγοντες· τί δήποτε ἀποκωλύσεις, ἅπερ ἡμεῖς οὐκ ἐκωλύσα-
μεν ἐν παντὶ χρόνῳ διελέγχων τὴν ἐπιστασίαν τὴν ἡμετέραν, καὶ
καταισχύνων ὡς ἀμελῶς ἔχοντας περὶ τὸ τοῦ ἱεροῦ πρέπον· ἐπειδὴ
δὲ οὐκ ἐρωτᾶν ἐχρῆν ἀλλ' εἰδέναι, μάλιστα μὲν ἐκ τῶν πάλαι προ-
φητῶν· εἰ δὲ δὴ τοῦτον ἠγνόουν· κἂν γοῦν τὴν ἰωάννου μαρτυ-
ρίαν ἐχρῆν ἐν μνήμῃ φέροντας, εἰδέναι, ὅτι οὗτος ἐστὶν ὁ προσδο-
κώμενος πάλαι σωτὴρ τοῦ κόσμου, καὶ γινώσκειν τὴν ἐξουσίαν,
καὶ μὴ ζητεῖν περὶ αὐτῆς· διὰ τοῦτο καὶ ὁ κύριος ἄντικρυς μὲν ἑαυ-
τῷ μαρτυρεῖν ἐκκλίνει· ἰωάννην δὲ μάρτυρα παρέχεσθαι βούλεται·
καὶ ἐπείπερ οὐκ ἀποδεξαμένοις οὐδὲ τὸν ἰωάννην, διαλέγεται· διὰ

τοῦτο πρότερον ἐρωτᾷ περὶ ἰωάννου ἣν τινὰ γνώμην ἔχουσιν. εἰ
γὰρ ἐκεῖνον ἦσαν ἀποδεδεγμένοι, πάντως καὶ τὴν αὐτοῦ μαρτυρίαν
ἀκόλουθον ἦν ἀποδέξασθαι. καὶ οὕτως ἂν ἠπίσταντο τὴν ἐξουσίαν.
ἐρωτᾷ δὴ περὶ τῆς χάριτος τῆς ἐν ἰωάννῃ· αὕτη γὰρ αὐτὸν ἐντι-
μόν τε καὶ ἀξιόπιστον καθίστησι μάρτυρα· πότερον ἐκ θεοῦ ἦν τὸ
βάπτισμα ἢ ἀνθρώπινον. τὸ ἐξ οὐρανοῦ γὰρ λέγων ἐκ θεοῦ δεδήλω-
κε. στενοχωροῦνται οὖν περὶ τὴν ἀπόκρισιν διὰ τὰς δεδηλωμένας
αἰτίας. καὶ λέγουσιν ὅτι οὐκ οἴδαμεν, καὶ πρὸς τοῦτο ὁ σωτὴρ
ἀκολούθως· οὐδὲ ἐγὼ λέγω φησὶν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
ὡς γὰρ δῆλον τούτου τυγχάνοντος ὅτι ἔφυγον ταύτην τὴν ἀπόκρι-
σιν. οὐχὶ δὲ ἀγνοοῦντες, ἀληθῶς οὐκ ἀπεκρίναντο. οὐδὲ ἐγώ φησιν.
ὑμῖν λέγω. καὶ οὐκ εἶπεν οὐκ οἶδα. ἀλλ᾽ οὐ λέγω, ἀντὶ τοῦ οὐκ
ἠβουλήθητε τὸ ἀληθὲς εἰπεῖν, οὐδὲ τῆς παρ᾽ ἐμοῦ τεύξεσθαι ἀπο-
κρίσεως ἢ καὶ οὕτως. οὐ δύνασθε ὑμεῖς περὶ ἐμοῦ ἀκούειν ὅστις
εἰμί. ἐπεὶ τὸν μάρτυρα οὐ δέχεσθε, ὃς ἦλθεν εἰς μαρτυρίαν, ἵνα
μαρτυρήσῃ περὶ ἐμοῦ. ἄλλως τε τάχα ἐρωτῶσι, γενικὰς μὲν εἰ-
δότες ἐξουσίας δύο, θεοῦ καὶ ἀντικειμένου· εἰδικὰς δὲ πλείους· οἷον
δυνάμεις, θρόνους, κυριότητας, ἐξουσίας κοσμοκράτορας τοῦ κόσμου
τούτου. πνεύματα πονηρίας. θέλοντες μαθεῖν τί τῆς ἰησοῦ ἐπι-
στήμης. ἐπεὶ δὲ οὐχ ὑγιῶς φιλομαθεῖς ἦσαν, πειρασαὶ δὲ οὔτε
τῶν περὶ ἐξουσιῶν, δι᾽ ὧν διετάγη ὁ νόμος, ἢ τῶν ποιησασῶν
τὰ σημεῖα ἐν Μωσῆ καὶ τοῖς ἁγίοις, οὔτε τὴν ἐξαίρετον καὶ
ὑπὸ πατρὸς αὐτῷ δοθεῖσαν λέγει αὐτοῖς ἐξουσίαν, ἀντεπερωτᾷ
δὲ ὡς ἀναξίοις τοιούτων θεωρημάτων, καὶ περὶ σφάλμα ἐλέγχων

ἐπὶ τῇ ἐω

ἐπὶ τῇ εἰς ἰωάννην ἀπιστίᾳ. "Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος "
καὶ περιέθηκε φραγμὸν καὶ ὤρυξε καὶ ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον. "
καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν." αὕτη ἡ παραβολὴ
δηλοῖ ὅτι μὴ μόνον περὶ τὸν ἰωάννην ἠγνωμονήκασιν, ἀλλὰ καὶ περὶ
αὐτὸν τὸν κύριον, ἀρξάμενοι ἀπὸ τοῦ οἰκέτου, προελθόντες ἐπὶ
τὸν δεσπότην· διὸ καὶ τὴν ἀποβολὴν εἰκότως πεισομένους αὐτοὺς
προδείκνυσι· λέγει δὲ ~~τὸν~~ ἀμπελῶνα τὸν ἰσραὴλ τοῦ οἰκοδεσπότου
τουτέστι τοῦ θεοῦ, φραγμῷ περιβληθέντα ἀσφαλείας τῆς παρὰ
θεοῦ. καὶ ὤρυξεν ὑπολήνιον. ὡς δὲ ἕτερος εὐαγγελιστὴς ληνὸν φη-
σι· καὶ ληνὸν μὲν τὸ θυσιαστήριον, ὑπολήνιον δὲ τὸ ὑποκάτω· εἰς ὃ
τῶν θυσιῶν τὸ αἷμα ἐδέχοντο. πύργον δὲ τὸν ναὸν ἐπιφανέστατον
ἐν ἀνθρώποις ὄντα καὶ ὑψηλότατον ἐκδεδωκέναι τε ἔφη τὸν ἀμ-
πελῶνα γεωργοῖς τουτέστιν ἀρχιερεῦσι καὶ διδασκάλοις. καὶ ἀπο-
δεδημηκέναι τουτέστι δεδωκέναι χρόνους εἰς καρποφορίαν· ἣν ὥσπερ
ἐπιστὰς πάλιν ἤμελλον ἀπαιτήσειν. ταῦτα δὲ εἰς τὸν πατέρα μὲν λέγεται
κατὰ τὴν ὑπόθεσιν τῆς παραβολῆς. καθ' ἣν ἰδίως εἰσάγει τὸν υἱὸν
~~καὶ~~ ἡ παραβολή· ὅτι καὶ διὰ τοῦ λόγου, ἡ σάρκωσις· οὐ μὴν χωρίζει
τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς ὁ περὶ τοῦ οἰκοδεσπότου λόγος. εἴπερ πά-
ντα δι' αὐτοῦ ἐγίνετο, μετὰ δὲ ταῦτα τὴν ἀπαίτησιν τῆς καρπο-
φορίας τουτέστι τοῦ νομικοῦ βίου, παρόντος τοῦ καιροῦ φησι γεγενῆ-
σθαι διὰ δούλου πρώτου οὗ τυπηθέντος καὶ ἀναιρεθέντος δι' ἑτέρου
δούλου πάλιν τὴν ἀπαίτησιν ἔδει γενέσθαι· εἶτα καὶ τρίτου πάλιν ἀ-
πεσταλκέναι αὐτοῖς, καὶ οὕτω τὸ τελευταῖον, διὰ τοῦ υἱοῦ, τὴν ὑπερ-
βάλλουσαν δόξαν δεικνύντος εἰς τὸ καταιδέσαι μειζόνως· οὐχ ὡς
ἀγνοοῦντος τὸ ἀποβησόμενον τοῦ πέμποντος ἀλλ' ὡς τοῦ πράγ-
ματος τὸ ἄξιον ἐντροπῆς. καὶ δοῦλον μὲν πρῶτον λέγει τοὺς

ἐν καιρῷ Ἠλίου προφήτας. δεύτερον δὲ τὸν Ἠσαΐαν, ὥσπερ καὶ Ἀμώς.
τρίτον δὲ τοὺς περὶ τὸν Ἰεζεκιὴλ καὶ Δανιήλ. ἐπάγει οὖν ἡ παραβολὴ
τὸ κατὰ τοῦ κυρίου τόλμημα, ὅτι συνέντες αὐτὸν ὄντα τὸν κλη-
ρονόμον μείζονα τὴν τόλμαν ἐνεδείξαντο, λογισάμενοι ὡς εἰ ἀ-
ποκτείναιεν αὐτόν, καθέξουσι τὴν κληρονομίαν. „ ἔξέβαλον οὖν
φησὶν αὐτὸν ἔξω τοῦ ἀμπελῶνος· τουτέστιν ἔξω τῆς πόλεως, καὶ
τοῦ ναοῦ καὶ ἀπέκτειναν. ἐπειδὴ δὲ εἶπεν ὅτι ἀπέκτειναν οὓς
ὡς ἡ ἀκολουθία τῆς παραβολῆς ἔχειν δύναται, αὐτὸν εἶναί φησι
τὸν παρεσόμενον ἐπὶ τιμωρίᾳ τῶν δούλων· ὅτι δὲ αὐτὸς ἐστὶ
δῆλον, ἤδη γοῦν κριτικὴ πῶς αὐτοῦ ἐστὶν ἡ παρουσία, τὸ παραδοθῆ-
ναι ῥωμαίοις τὸν λαόν· καὶ αὐτοῦ τὸ ἔργον οὐ ῥωμαίων· καὶ
τότε ἡ ἔκδοσις τοῦ ἀμπελῶνος ἡ εἰς ἑτέρους γεωργούς, τουτέστιν
εἰς τοὺς ἀποστόλους, καὶ τοὺς ἐξ ἐθνῶν διδασκάλους. εἶτα
διὰ πάντων δεικνὺς ὅτι οἱ μὲν ἐκβάλλεσθαι ἔμελλον· τὰ δὲ ἔθ-
„ νη εἰσάγεσθαι τὸν Δαβὶδ παράγει μάρτυρα λέγων. „ οὐδὲ τὴν
„ γραφὴν ταύτην ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδο-
„ μοῦντες; καὶ λίθον μὲν ἑαυτὸν καλεῖ. οἰκοδόμους δὲ ὅνπερ καὶ
γεωργοὺς πρώην ἐκάλεσε τοὺς διδασκάλους τῶν ἰουδαίων, ἑαυτὸν
δὲ μετὰ τὸ παρ' ἐκείνοις ἀποδοκιμασθῆναι, κεφαλὴν γωνίας καθι-
στάμενον, τουτέστιν ἐθνῶν τε καὶ ἰουδαίων, παρὰ κυρίου τε εἶναι
τοῦτό φησι θαῦμα, ἀνθρώποις τοῖς συνιεῖσιν ὅτι δὴ μετὰ θά-
νατον ζῶν φαίνεται χριστός. καλῶς δὲ εἶπε παρὰ κυρίου, ἵνα
μάθωσιν ὅτι οὐδὲν τῷ θεῷ ἐναντίον τῶν γενομένων ἦν.
„ Καὶ ἀποστέλλουσι τινὲς τῶν φαρισαίων, καὶ τῶν ἡρωδιανῶν πρὸς
„ αὐτόν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. ἡρωδιανοὶ κατ' ἐκείνους
τοὺς χρόνους ἦσαν, οἱ τὸν ἡρώδην χριστὸν εἶναι λέγοντες, ἄλλοι

δὲ Ἡρωδιανούς φασὶ τοὺς Ἡρώδου στρατιώτας· τούτους δὴ καὶ ὡς
ἐναντιωτάτους Χριστῷ τῷ ἀληθινῷ, καὶ ὡς περὶ τὸν ἄρχοντα ὄντας εἰς
τὸ κατηγορεῖν παρεῖναι βούλονται μάρτυρας τῇ ἐρωτήσει τῶν πει-
ραζόντων βουλομένων ἀκοῦσαί τι παρ' αὐτοῦ· μὴ δῶτε φόρον λέγον-
τος. τοῦτο γὰρ ὁ παρὼν εὐαγγελιστὴς φησὶ δῶμεν ἢ μὴ δῶμεν·
διὰ τοῦτο δὴ τὰ ἐγκώμια, καὶ ἡ μαρτυρία τοῦ ἀληθεύειν ἅπαντα
καὶ πᾶσαν ὀρθὴν πρᾶξιν ἀληθινῶς καὶ μετὰ παρρησίας ὑποτίθεσθαι·
αὕτη γὰρ ἡ ὁδὸς τοῦ θεοῦ· καὶ μὴ φροντίζειν τινὸς μηδὲ ὑποστέλλεσθ-
αι πρόσωπον· ταῦτα γὰρ λέγουσιν ὡς ὑπαγαγεῖν αὐτὸν δυνάμενοι·
καταφρονῆσαι τοῦ ἄρχοντος· καὶ ἀπαγορεῦσαι τοὺς τελουμένους βα-
σιλεῖ φόρους· εἰδότες ὅτι καὶ Ἰούδας ὁ Γαλιλαῖος εἰσηγησάμενος
μὴ ὑπακούειν βασιλεῖ, μηδὲ ἀπογράφεσθαι τὰς οὐσίας, ἀπώλετο·
καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν, πρὸς δὲ τὴν
τοιαύτην πεῖραν ὁ τοῦ σωτῆρος λόγος· πρῶτον μὲν αὐτὸ τοῦτο
ἐξελέγχει, ὅτι πειράζουσιν ἵνα ὡς μηδὲ μαθόντες αὐτὸν μέγα φρ-
ονῶσιν, ἀλλ' εἰδῶσιν ὅτι καὶ τὰ ἐγκάρδια γινώσκει. τοῦτο γὰρ δηλοῖ
τὸ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν. εἶτα κελεύει τὸ ἀργύριον προσενεχ-
θῆναι αὐτῷ τὸ τελούμενον βασιλεῖ καὶ ἐρωτᾷ. τίνος ἡ ἐπιγραφή,
οὐχ ὅτι ἀγνοεῖ τὴν ἐπιγραφήν, ἀλλ' ἵνα ἐκ τοῦ θεωρουμένου τὴν
ἀπόκρισιν ἀλόγως ποιήσηται καὶ ἐξ ὧν ἀποκρίνονται τὸ ἑπόμενον
ἀκούσωσι· φησὶ γὰρ ὅτι βασιλεῖ μὲν τὰ βασιλέως ἀποδοῦναι δεῖ·
θεῷ δὲ τὰ τοῦ θεοῦ· ἐπισυνάψας δὴ τὰ περὶ θεοῦ, οὐδὲ τὸ δο-
κεῖν κολακεύειν ἄρχοντι· κατέλιπεν αὐτοῖς συκοφαντίαν, ἐπειδὴ δοκεῖ
δουλεία τις εἶναι, ἀνθρώπων καὶ οὐ θεοῦ, τὸ φόρους δίδοσθαι· διὸ

οὔτε δίδοναι ἀποφαίνεται· θέλει τε θεοσεβοῦντας μηδένα ἀποστρέφ-
ειν πρόφασιν θεοσεβείας· διὸ ἐθαύμασαν ὅτι μὴ ἔδωκεν αὐτοῖς ἀφ-
" ορμὴν τοῦ ἐπιβουλεῦσαι αὐτῷ· "Καὶ ἔρχονται Σαδουκαῖοι πρὸς
" αὐτὸν οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι." Σαδουκαῖοι αἵρεσις
ἐστὶν ἰουδαίων λέγουσα μὴ εἶναι ἀνάστασιν μήτε ἄγγελον μήτε πνεῦ-
μα· καὶ ἐξ εὐθείας μὲν οὐδὲν περὶ ἀναστάσεως λέγουσι· πλάττ-
ουσι δέ τινα λόγον· καὶ πρᾶγμα προσιθέασιν ὡς εἴξαν μὴ γεγε-
νημένον, οἰόμενοι εἰς ἀπορίαν αὐτὸν ἐμβαλεῖν· καὶ τὸ ἀνάστασιν
εἶναι ἀνατρέψαι· διὸ ὡς ἐκ περιουσίας οἰόμενοι κωμῳδῆσαι τὴν
ἀνάστασιν· οὐ δύο ἢ τρεῖς ἔπλασαν ἄνδρας μιᾷ γυναικὶ συναφ-
θῆναι ἀλλ' ἑπτά· διὸ καὶ λέγουσι πάντες ἔσχον αὐτήν· τί οὖν
ὁ κύριος πρὸ ἀμφότερα ἀποκρίνεται; οὐ πρὸς τὰ ῥήματα,
ἀλλὰ πρὸς τὴν γνώμην ἱστάμενοι· καὶ ὅτι ἀνάστασις ἔσται, καὶ
ὅτι οὐ τοιαύτη ἀνάστασις οἵαν φασὶ τοὺς Φαρισαίους ὑπολ-
αμβάνειν· πλανᾶσθε γάρ φησι μὴ εἰδότες τὰς γραφὰς, μηδὲ
τὴν δύναμιν τοῦ θεοῦ· ἐπεὶ γὰρ ὡς εἰδότες Μωσέα προεβ-
άλλοντο καὶ τὸν νόμον· δεικνύουσιν αὐτοὺς ἀγνοοῦντας τὰς γραφάς,
ἐκ δὲ τούτου καὶ τὴν δύναμιν τοῦ θεοῦ· καὶ ἐπειδὴ αἴτιον
ἦν τοῦ μὴ νομίζειν ἀνάστασιν τὸ τοιαύτην ὑποπτεύειν γενήσεσθαι
πραγμάτων κατάστασιν· τὸ δὲ αἴτιον θεραπεύει· ἐν γὰρ τῇ ἀν-
αστάσει φησὶν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται· ψεῦδος οὖν ὑπο-
τίθεσθε ἀγνοοῦντες τὴν περὶ τῆς ἀναστάσεως γραφὴν καὶ τὴν
δύναμιν τοῦ θεοῦ, ἥτις καὶ τὰ διεφθαρμένα εἰς ἀνάστασιν ἄγει·
καὶ ἐπειδὴ μένουσιν οἱ ἄνθρωποι μηκέτι αὐξανόμενοι εἰς πλῆθος
καθάπερ καὶ οἱ ἄγγελοι· διὰ τοῦτο κοινωνία γάμων ἀναιρεθήσεται·
τοῦτο γὰρ τὸ ὡς ἄγγελοι θεοῦ ἐν τοῖς οὐρανοῖς· ὥσπερ γὰρ τὸ
ἀγγελικὸν πλῆθος πολὺ μὲν ὄν, οὐ μὴν ἐκ γεννήσεως αὐξηθὲν
ἀλλ' ἐκ δημιουργίας ὑπάρχον· οὕτω δὴ καὶ τὸ ἀνιστάμενον πλῆ-
θος· ὅτι δὲ

ὅτι δὲ γενήσεται ἀνάστασις, καὶ οὐκ ἀδύνατον τὸ πρᾶγμα. τοῦτο ἐξ ἐπαγγελίας τοῦ θεοῦ συνίστησι, καὶ οὐκ ἐκ φυσιολογίας. οὐχὶ γὰρ τῶν οὐκ ὄντων φησὶν ἔσται θεὸς ὁ θεός. οὐ γὰρ εἶπεν ἤμην ἀλλ' εἰμὶ τῶν ζώντων καὶ τῶν ὄντων. καὶ οὐ δήπου ὡς οἱ ἐπὶ ψυχὰς ἀνάγοντες τὸν λόγον, ὡς οἱ ἀπὸ Οὐαλεντίνου καὶ Μαρκίωνος. ταύτην γὰρ ζωὴν καὶ περὶ τούτων εἰρῆσθαι τὸν κύριον φασίν, ὡς τοῦ τῶν ὄντων θεοῦ τοῦ θεοῦ. οὐ γὰρ δήπου Σαδδουκαίοις περὶ ψυχῶν ἦν ἡ ἀντιλογία, ἀλλὰ περὶ σωμάτων. ὥστε περὶ τούτων ἡ ἀπόκρισις. τότε γὰρ λέγεται ἀνίστασθαι ὁ νεκρὸς ὅταν μετὰ σώματος ἡ ψυχή. ἓν γάρ τι τὸ συναμφότερον ἐστὶν ἐν ἀνθρώποις, καὶ ἡ ζωὴ κοινή. καὶ ἑκατέρου δεῖ πρὸς τὸ τὴν ἐκ θανάτου ζωὴν πάλιν συστῆναι. "Καὶ προσελθὼν εἷς τῶν γραμματέων ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτόν· ποία ἐστὶ πρώτη πασῶν (πάντων) ἐντολή;" Ματθαῖος φησὶν ὅτι πειράζων ἠρώτησεν. οὗτος δὲ τοὐναντίον. εἰδὼς γάρ φησιν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ. οὐκ ἐναντιούμενοι ἀλλήλοις, ἀλλὰ καὶ σφόδρα συνᾴδοντες. ἠρώτησε μὲν γὰρ πειράζων παρὰ τὴν ἀρχὴν αὐτὸν ἐπῄνεσεν, ἀλλ' ὅτε εἶπεν. ἀπὸ δὲ τῆς ἀποκρίσεως ὠφεληθεὶς, ἐπῃνέθη. οὐδὲ γὰρ παρὰ τὴν ἀρχὴν αὐτὸν ἐπῄνεσεν, ἀλλ' ὅτε εἶπεν ὅτι ἀγαπᾶν τὸν πλησίον πλεῖον ἐστὶ τῶν ὁλοκαυτωμάτων. τότε φησὶν οὐ μακρὰν εἶ ἀπὸ βασιλείας. καὶ οὐδὲ οὕτως αὐτῷ ἀπηρτισμένον τὸν ἔπαινον συνέθηκεν, ἀλλ' ἔτι λείποντα. τὸ γὰρ εἰπεῖν οὐ μακρὰν εἶ ἀπὸ βασιλείας δείκνυσιν ἔτι ἀπέχοντα. ἵνα

ζητήσῃ τὸ λεῖπον. τούτου δὲ χάριν ~~τοῦ~~ τὴν ἐρώτησιν ταύτην
προὐβάλλετο· προσδοκῶν τινὰ λαβὴν παρέξειν αὐτοῖς, ὡς ἐπιδιο-
ρθούμενον αὐτήν, διὰ τὸ καὶ αὐτὸν ποιεῖν θεόν. τί οὖν ὁ Χρι-
στὸς δεικνὺς ὅθεν ἦλθεν ἐπὶ τοῦτο, ἀπὸ τοῦ μηδεμίαν ἔχειν ἀγά-
πην, ἀπὸ τοῦ φθόνου καὶ ζηλοτυπίας τήκεσθαι· φησὶ πρὸς αὐτόν
„ ἀγαπήσεις κύριον τὸν θεόν σου· αὕτη πρώτη καὶ μεγάλη ἐντολή.
„ εἶτά φησι δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου
„ ὡς σεαυτόν. ὁμοία δὲ αὐτῇ φησιν, ὅτι αὕτη ἐκείνην προοδο-
ποιεῖ. ἀγαπῶντες γὰρ ἑαυτούς, ἀγαπῶμεν τὸν ποιήσαντα ἡμᾶς
τοιούτους, ὥστε εἶναι κατ᾽ εἰκόνα τοῦ κτίσαντος ἡμᾶς. οὐ γὰρ
ἐκ τοῦ ἀγαπᾶν τὸν θεὸν ἀγαπῶμεν ἑαυτούς, ἀλλ᾽ ἐκ τοῦ ἀγα-
πᾶν αὐτὸν εὐχαριστοῦμεν τῷ ἡμᾶς ποιήσαντι καὶ χαρισαμένῳ
τὰ τοιαῦτα. τὴν οὖν πρώτην ἐρωτηθεὶς, ἐπήγαγε καὶ τὴν δευ-
τέραν οὐδὲν αὐτῆς ἀποδέουσαν. εἰ δὲ ἐστί τις πρώτη ἐντολή
καὶ ἄλλη δευτέρα, εἴη ἄν τις καὶ τρίτη καὶ ἄλλη τετάρτη καὶ
καθεξῆς. ζητήσεις δὲ πῶς τῆς δεκαλόγου αὗται μείζους εἰσί, καὶ εἰ
μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν, οὐδὲ ἡ δεκάλογος ἄρα. ζη-
τήσεις δὲ καὶ εἰ ἴση ταύτῃ ἐντολὴ ἐστί. πλεονάζει δὲ τῇ ἐπαναλή-
ψει τῇ περὶ τοῦ αὐτοῦ πράγματος, ὀνομάσασα τὸ ἐν ὅλῃ καρ-
δίᾳ, καὶ τὸ ἐν ὅλῃ ψυχῇ, καὶ τὸ ἐν ὅλῃ διανοίᾳ, ἵνα ἐπιτείνῃ
τὴν ἀγάπην εἰς τελειότητα, μὴ καταλιποῦσ᾽ ἀπόκλισιν ἐπ᾽ ἄλλο
μηδέν, ὅπερ ἐλαττώσει τὴν πρὸς θεὸν ἀγάπην. εἰπὼν δὲ ταύτην με-
γάλην εἶναι ἐντολήν, τουτέστι τὴν εἰς θεὸν ἀγάπην, προσέθηκε καὶ
πρώτην εἶναι ταύτην, ἵνα καὶ τὴν δευτέραν ἐπεισάγῃ συνημμέ-
νην αὐτῇ. διὸ καὶ περὶ μιᾶς ἐρωτηθεὶς, οὐκ ἐσιώπησε τὴν ἀχώριστον

αὕτη· οὐ γὰρ ἀληθὴς ἡ πρὸς θεὸν ἀγάπη τὴν πρὸς τὸν πλησίον οὐκ
ἔχουσα. «Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε διδάσκων ἐν τῷ ἱερῷ·
πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι χριστὸς υἱός ἐστι τοῦ Δαβίδ.»
τοῦτο ἐρωτᾷ λανθανόντως ἐνάγων αὐτοὺς εἰς τὸ καὶ αὐτὸν ὁμολο-
γῆσαι θεόν· μετὰ γὰρ τὸν εἰρηκότα ὅτι εἷς ἐστι θεός· καὶ οὐκ ἔστιν
ἄλλος πλὴν αὐτοῦ, ἐπήγαγε τὰ εἰρημένα, ὅτι γὰρ εἶπεν, ὅτι εἷς ἐστι κύ-
ριος· τότε καὶ περὶ ἑαυτοῦ εἶπεν, ὅτι κύριός ἐστι καὶ ἀπὸ προφητείας
καὶ δείκνυσιν αὐτὸν ὑπὲρ αὐτοῦ ἀμυνόμενον, καὶ ὁμόνοιαν τοῦ πα-
τρὸς πρὸς αὐτόν· ἐπειδὴ γὰρ καὶ πρὸς τὸ πάθος ἤμελλεν ἰέναι λοιπὸν
τίθησι τὸν κύριον αὐτὸν ἀνακηρύττουσαν προφητείαν· ἀλλ' οὐχ ἁπ-
λῶς οὐδὲ προηγουμένως, ἀλλ' ἀπ' αἰτίας εὐλόγου· ἀνατρέπων γὰρ
αὐτῶν τὴν πεπλανημένην δόξαν, οὕτως εἰσάγει τὸν Δαβὶδ ἀνακηρ-
ύττοντα αὐτοῦ τὴν θεότητα, καὶ τὸ γνήσιον τῆς υἱότητος, καὶ
τὸ ὁμοούσιον τὸ πρὸς τὸν πατέρα· καὶ οὐδὲ μέχρι τούτου ἵσταται·
ἄλλως τε καὶ φοβῆσαι ἐπάγει λέγων, «ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου.» ἵνα καὶ οὕτως αὐτοὺς ἐπαγάγηται.
πρότερον δὲ εἶπε τί ὑμῖν δοκεῖ, τίνος υἱός ἐστιν, ὥστε εἰς ἐρώτησιν
αὐτοὺς ἀγαγεῖν· ἐπειδὴ δὲ εἶπον τοῦ Δαβίδ, οὐκ εἶπε, καὶ μὴν ὁ Δα-
βὶδ τάδε φησίν, ἀλλὰ πάλιν ἐν τάξει ἐρωτήσεως· «πῶς οὖν Δα-
βὶδ ἐν πνεύματι» ὥστε μὴ προσθέσθαι αὐτοὺς τὰ λεγόμενα· διὸ οὐδὲ
εἶπεν τί οὖν ὑμῖν δοκεῖ περὶ ἐμοῦ ἀλλὰ περὶ τοῦ χριστοῦ, «εἰ οὖν
Δαβίδ, φησί, καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι» τοῦτο δὲ
φησὶν οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοῦ υἱόν, ἀλλὰ τὴν ὑπόνοιαν διορθού-
μενος, τουτέστι, πῶς υἱὸς αὐτοῦ ἐστιν οὕτως ὡς ὑμεῖς φατὲ μό-

μόνον υἱός, καὶ οὐχὶ κύριος. καὶ μὴν κύριος αὐτοῦ ἐστιν. οὐκ ἦν δὲ
ἴσον Ἰουδαίων ἅπαντων κύριον ἀκοῦσαι καὶ τοῦ Δαβίδ. οὐδὲ γὰρ
κατὰ τοὺς Ἰουδαίους τὸν υἱὸν ἔπρεπε κύριον λέγεσθαι τοῦ πατρός·
τοὐναντίον δὲ, ὥσπερ καὶ Σολομῶντα τὸν δοῦλόν σου. πατέρα δὲ πε-
ρὶ υἱοῦ λέγειν, ὡς περὶ κυρίου παντελῶς ἄτοπον, καὶ παρὰ τὴν φύ-
σιν· καὶ μάλιστα ὁπότε κατὰ πνεῦμα κινούμενος καλεῖ. οὐκ εἶπε δὲ
τοῦ πνεύματος κύριον, ἀλλὰ τοῦ Δαβίδ. οὐ γὰρ ἐπειδὴ ἐν πνεύ-
ματι λαλῶν κύριον ἐκάλεσε τὸν Χριστὸν διὰ τοῦτο δουλοποιητέον
τὸ πνεῦμα, ὡς τολμῶσιν οἱ εἰς τὸ πνεῦμα βλασφημοῦντες.

„ Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ, βλέπετε ἀπὸ τῶν γραμμα-
„ τέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀ-
„ γοραῖς. αὐτοῖς δηλονότι τοῖς ἀπὸ τοῦ λαοῦ περὶ ὧν εἶπε, καὶ
ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως. λέγει δὲ φυλάξασθε ἀπὸ
τῶν γραμματέων ἑαυτούς, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν.
οὐ γὰρ ἕνεκα θεοῦ, τὸ σχῆμα τὸ νόμιμον προβάλλονται, ἀλλ' ἕνε-
κα τοῦ δοκεῖν ἀνθρώποις εὐσεβεῖν, καὶ κομίζεσθαι παρὰ ἀνθρώ-
πων τὴν προτίμησιν. ἐκ τούτου δέ φησι καρποῦνται τοὺς οἴκους
τῶν χηρῶν. τουτέστιν ἃ ταῖς ἀσθενέσι χήραις ἔδει δίδοσθαι, κομί-
ζονται σχήματι περιττῆς εὐλαβείας τὸ ~~καρτερεῖν~~ παρεκτείνειν ἐπὶ
πολὺ τὰς εὐχάς. ταῦτα δὲ λέγων καὶ τοὺς μαθητὰς ἐπαίδευε, μὴ
μιμεῖσθαι τοὺς παρὰ Ἰουδαίοις διδασκάλους καὶ γραμματέας.

„ Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν μαθη-
„ τῶν αὐτοῦ. διδάσκαλε ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. ιγ
ἐπειδὴ πολλὰ περὶ τῆς ἐσομένης τῇ πόλει ἐρημίας καὶ τῷ ναῷ προ-
εφήτευσε λέγων, ὅτι ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, οἱ μαθηταὶ
ἀκούσαντες

ἀκούσαντες ταῦτα, ὥσπερ θαυμάζοντες προσῆλθον ἐπιδεικνύντες
τοῦ ναοῦ τὸ κάλλος, καὶ διαποροῦντες εἰ τοσαῦτα μεγέθη καὶ κάλ-
λη οἰκοδομημάτων ἀφανισθήσεται. ὁ δὲ κύριος τούτων ἀκούσας, τὴν
παντελῆ αὐτῶν ἀπώλειαν προαναφωνεῖ. εἰ δέ φασί τινες μήπως εἰς τέλειον
αὐτοῦ τὴν καταστροφὴν γεγενῆσθαι ἀλλ' ἔτι σώζεσθαι λείψανα τούτων.
οὐδ' οὕτω διέπεσεν ἡ ἀπόφασις. ἢ γὰρ τὴν ἐρημίαν ἐνδεικνύμενος τὴν παν-
τελῆ ταῦτα ἔλεγε, καὶ τὴν τῆς νομικῆς λατρείας κατάλυσιν, ἢ περὶ τὸν
κατ' ἐκεῖνον τὸν τόπον ἔνθα ἦν. ἔστι γὰρ αὐτοῦ μέχρι τῶν θεμελίων μέρος
ἠφανισμένον, καὶ ἐκ τῶν γεγενημένων καὶ περὶ τῶν λειψάνων θαρρεῖν χρὴ
ὡς τέλεον ἀπολουμένων, ἄλλος δέ φησιν ἐπειδὴ ἐκεῖνοι τὸ ἱερὸν ἐδείκνυσαν
ὡς ἄριστα κατεσκευασμένον, καὶ διὰ τοῦτο οὐκ ὀφεῖλον καταπεσεῖν. ἐπὶ τὸ
καθολικώτερον τὸν λόγον ἐξήγαγεν, ὅτι ἔσται καιρὸς ὅτε πάντα συντελεσθή-
σεται. ὡς μηδὲ λίθον ἐπὶ λίθῳ μεῖναι. τοῦτο δὲ περὶ τῆς καθόλου συν-
τελείας ἔφη. Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέν-
αντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἀνδρέας.
εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται. Οὕτως καὶ ὁ Λουκᾶς εἰ ἔφασαν εἶναι τὸ
ἐρώτημα περὶ ἱεροσολύμων, ἅτε νομιζόντων αὐτῶν. τότε καὶ τὴν παρουσίαν
αὐτοῦ εἶναι. ὁ δὲ Ματθαῖος περί τε τῆς καθαιρέσεως τοῦ ναοῦ. καὶ τῆς
συντελείας τοῦ αἰῶνος ταῦτα φησὶ γεγενῆσθαι, διὸ καὶ ἀδιαφόρως περὶ τού-
των τινὲς ἐξειλήφασιν. οἱ μὲν γὰρ περὶ τῆς συντελείας τοῦ αἰῶνος εἰρῆσθαι
ταῦτα ὑπολαμβάνουσιν, οἱ δὲ περὶ τῆς ἐρημώσεως τῆς ἱερουσαλήμ. ἐπει-
δὴ δὲ οὗτος ὁ εὐαγγελιστὴς περὶ ταύτης φησὶ μόνης τὴν ἐρώτησιν ποιή-
σασθαι τοὺς μαθητάς, ἀναγκαῖον καὶ ἡμᾶς ἐν τῷ παρόντι μάλιστα τούτῳ
ἐξακολουθῆσαι. ἄλλο οὖν ἠρώτησαν, καὶ ἄλλο ἀποκρίνεται. οἱ μὲν γὰρ

τὸν καιρὸν ἠθέλησαν μαθεῖν τῆς ἀπωλείας τῆς ἱερουσαλήμ. ὁ δὲ πρὸ
τῆς ἀπωλείας ἀσφαλίζεται τὴν διάνοιαν τῶν ἐρωτησάντων. φησὶ γάρ·
„ βλέπετε μὴ πλανηθῆτε. μὴ τῇ ὁμωνυμίᾳ σφαλῆτε. „ πολλοὶ γὰρ ἐλ-
„ εύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι ὁ χς καὶ πολλοὺς πλα-
„ νήσουσιν. „ ὃ δὲ γέγονεν. ὁ γὰρ διάβολος τὴν παρουσίαν ἀμβλῦ-
ναι βουλόμενος τοῦ χριστοῦ, εἰσήγαγεν ἑτέρους πλάνους ἐπὶ τῶν μαθητῶν
οἳ ἐσφετερίζοντο τὸ ὄνομα τοῦ χριστοῦ, οἷος ἦν ὁ θευδᾶς καὶ ἰούδας
ὁ γαλιλαῖος, καὶ ἕτεροι πολλοί. ἐπεὶ τοίνυν ταῦτα ἤμελλε γίνεσθαι.
λέγει τέως βλέπετε μὴ πλανηθῆτε. οὐδὲν γὰρ αὐτοὺς ὠφελεῖ ὁ καιρὸς
εἰ μὴ ὦσιν ἀσφαλεῖς περὶ τὴν πίστιν. τότε γὰρ δύνασθε καὶ τὸν καιρὸν
μαθεῖν, τῆς ἀπωλείας ἱερουσαλήμ, ὅταν ἀσφαλεῖς γένησθε περὶ τὴν
πίστιν τοῦ πάλαι γενομένου. ὅταν δὲ ἀκούσητε πολέμους οὓς ἰώσηπός
φησι γεγενῆσθαι πρὸ τῆς ἁλώσεως. ἀνταίροντος μὲν τοῦ ἔθνους, καὶ μὴ
διδόντος τοὺς φόρους τοὺς συνήθεις ῥωμαίοις. ἐφόδων δὲ ῥωμαϊκ-
ῶν συνεχῶν γινομένων κατὰ τῶν ἰουδαίων, μὴ θροεῖσθε φησίν,
οὔπω γὰρ τὸ τέλος τῆς πόλεως. πολλάκις γὰρ ἀνακωχὴ τοῦ πολέμου
γενήσεται, διὰ τὴν τῶν κρατούντων φιλανθρωπίαν. καὶ πολλάκις ἰου-
δαῖοι τὴν ἑαυτῶν ἀγνωμοσύνην ἐπιδείξονται, οὐ γὰρ τοὺς ἔξωθεν καὶ
πανταχοῦ τῆς οἰκουμένης λέγει πολέμους. τί γὰρ αὐτοῖς ἔμελε τούτων.
εἶτα ἐπειδὴ καὶ τὰ εἰρημένα ἱκανὰ ἦν αὐτοὺς θορυβεῖν, δείκνυσιν ὅτι ὁ θς
αὐτὸς αὐτοῖς συνεπιθήσεται καὶ πολεμήσει. οὐχὶ μάχας φησὶ μόνον,
ἀλλὰ καὶ θεηλάτους ἐπάγων πληγάς, τουτέστι λιμοὺς καὶ σεισμούς·
ὅθεν ἐδείκνυ ὅτι καὶ τοὺς πολέμους αὐτὸς ἐπήγαγεν. εἰ δὲ περὶ
τῶν πανταχοῦ γινομένων πολέμων ὁ λόγος ἦν, οὐδ᾽ ἂν πρόρρησις
ἦν. καὶ οὐδ᾽ ἂν αὐτοὺς ἐθορύβησε. διὰ τοῦτο οὐδὲ ἁπλῶς αὐτὰ ἥξειν
φησὶν ἀλλὰ μετὰ σημείων, ἵνα γνωσθῇ ὡς αὐτὸς αὐτοῖς ταῦτα

ἐπήγαγεν. εἰ δὲ ~~περὶ τῶν πανταχοῦ γινομένων πολέμων ὁ λόγος ἦν, οὐδ'~~
~~αἱ προρρήσεις ἦν· καὶ οὐδ' ἂν αὐτοὺς ἐθορύβησε. διὰ τοῦτο δὲ ἀ-~~
~~τελῶς αὐτὰ εἰς ἥξειν φησὶν ἀλλὰ μετὰ σημείων ἵνα γνωσθῇ ὡς αὐτοῖς~~
~~αὐτοῦ ταῦτα ἐπήγαγε~~· πάντα δὲ ταῦτα φησὶν ἀρχαὶ ὠδίνων ἢ προοί-
μια τῶν ἰουδαϊκῶν κακῶν τῶν συμβαίνειν μελλόντων αὐτοῖς.

"βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ
εἰς συναγωγὰς δαρήσεσθε· καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθή-
σεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς." ἵνα εἴπῃ πρὸς τὸ μη-
δεμίαν ἔχειν αὐτοὺς ἀπολογίαν, ὑμῶν διὰ τοῦ ταῦτα παθεῖν κατα-
μαρτυρούντων. ἵνα δὲ μὴ νομίσωσι τὰ εἰρημένα κωλυτικὰ τοῦ κηρ-
ύγματος εἶναι, ἐπήγαγε. "καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον
κηρυχθῆναι τὸ εὐαγγέλιον." πρὸ γὰρ τῆς ἁλώσεως ἐκηρύχθη τὸ
εὐαγγέλιον πανταχοῦ, ὡς καὶ Παῦλός φησιν, εἰς μαρτύριον αὐτοῖς,
οὐκ εἰς τὸ πιστευθῆναι. τουτέστιν εἰς ἔλεγχον καὶ κατηγορίαν τῶν
ἀπιστοῦσι. μετὰ δὲ τὸ κηρυχθῆναι πανταχοῦ τὸ εὐαγγέλιον, ἀ-
πόλλυνται τὰ ἱεροσόλυμα, ἵνα μηδὲ σκιὰν ἀπολογίας ἔχωσιν ἀ-
γνωμονοῦντες. οἱ γὰρ ἰδόντες αὐτοῦ τὴν δύναμιν πανταχοῦ
διαλάμψασαν, καὶ ἐν ὀλίγῳ καιρῷ τὴν οἰκουμένην ἑλοῦσαν, τίνα
ἂν ἔχοιεν λοιπὸν συγγνώμην ἐπὶ τῆς αὐτῆς ἀγνωμοσύνης μείν-
αντες. ὅτι δὲ πανταχοῦ ἐκηρύχθη τότε, ἄκουσον τί φησιν ὁ
Παῦλος, τοῦ εὐαγγελίου τοῦ κηρύγματος ἐν πάσῃ τῇ κτίσει τῇ
ὑπ' οὐρανόν. ὃ ~~δὲ~~ καὶ μέγιστον σημεῖον τῆς Χριστοῦ δυνάμεως, ὅτι ἐν
ὅλοις εἴκοσιν ἔτεσι· τὰ πέρατα τῆς οἰκουμένης κατέλαβεν ὁ
λόγος. καὶ μετὰ τοῦτο ἥξει φησὶ τὸ τέλος ἱεροσολύμων. "

13.14 "Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δα-
"νιὴλ τοῦ προφήτου, ἑστὼς ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων νοείτω· τότε
"οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη." Ἰουδαῖοι μὲν οἴονται
τὸ τελευταῖον Ῥωμαίων μηχάνημα τὴν εἰσπεμφθεῖσαν εἰς τὸν ναὸν
χοιρείαν κεφαλὴν εἶναι τὸ βδέλυγμα, ἢ τὰς ὑπὸ Πιλάτου εἰς τὸ
ἱερὸν εἰσαχθείσας σημαίας. τινὲς δὲ βδέλυγμά φασι τοὺς στρατι-
ώτας τοὺς ἐπεισελθόντας τῷ ἱερῷ· ἄλλοι δὲ τὸν ἀνδριάντα τοῦ
τότε τὴν πόλιν ἑλόντος, ὃ καὶ μάλιστα δοκεῖ λόγον ἔχειν. βδέλυγ-
μα γὰρ πᾶν εἴδωλον ἐλέγετο καὶ πᾶν ἐκτύπωμα. ἐρημώσεως δὲ
εἶπεν, ἐπειδὴ μετὰ τὸ στῆναι, ἄβατος λοιπὸν ὁ τόπος ἐγένετο. καὶ
Πιλᾶτος δὲ τὰς τοῦ Καίσαρος εἰκόνας νύκτωρ εἰς τὸ ἱερὸν εἰσαγα-
γών. καὶ ἀναστήσας ὥς Ἰώσηππος φησὶ πολλοῦ μὲν θορύβου τοῖς
Ἰουδαίοις αἴτιος ἐγένετο. ἔκτοτε δὲ ἡ στάσις λαβοῦσα τὴν ἀρχήν,
οὐ διέλειπεν ἄχρις οὗ τό τε ἱερὸν ἐνεπρήσθη. καὶ ἡ πόλις ἠρημώ-
θη. ταύτην οὖν καὶ βδέλυγμα εἰκότως καλεῖ· ἐρημώσεως δὲ ὡς
ἀρχὴν ἐργασαμένην τῆς στάσεως ἀφ' ἧς ἡ τῆς πόλεως ἐρήμωσις
ἀπετελέσθη. εἶτα ἵνα μάθωσιν ὅτι καὶ ζώντων ἐνίων αὐτοῦ ταῦ-
τα ἔσται, εἶπεν, ὅταν ἴδητε. μετὰ ταῦτα λέγει πάλιν τὰς Ἰουδαϊ-
κὰς συμφοράς· ὅταν γὰρ ταῦτα φησὶ γίνηται. τουτέστι τὸ βδέ-
λυγμα τῆς ἐρημώσεως στῇ ἐν τόπῳ ἁγίῳ. φεύγετε· οὐδὲ γὰρ μία
λοιπὸν ἐλπὶς τῆς σωτηρίας ὑμῖν. οὐδὲ γὰρ ἔστιν ὑπονοεῖν ὑμῖν,
ὡς γενήσεταί τις μεταβολὴ τοσαύτη, οἷα καὶ πρότερον ἐν τοῖς
πολέμοις ἐγένετο. ἀγαπητὸν γὰρ γυμνῷ σώματι διασωθῆναι λοιπόν
διὰ τοῦτο καὶ τοὺς ἐπὶ τῶν δωμάτων οὐκ ἀφίησιν εἰς τὴν οἰκίαν
εἰσελθεῖν

εἰσελθεῖν· ὥστε ἆραι τὰ ἱμάτια. τὰ ἄψυχα δηλῶν κακὰ καὶ τὴν ἀ-
πέραντον συμφοράν· ἐπεὶ δὲ καὶ ἀναγωγῆς δεῖται τὸ ῥηθέν· βδέλυγ-
μα ἐστὶν ἐρημώσεως, ἑτερόδοξος λόγος· καὶ ἀσεβὲς δόγμα εἰσαγόμε-
νον ἀπὸ ῥητῶν τῶν ῥητῶν τῆς γραφῆς οἷς χρῶνται οἱ ἑτερόδοξοι.
τὸ δὲ ἑστώς, δηλοῖ ὅτι κατασκευαῖς βεβαιοῦν θέλει τὰ ἑαυτοῦ δό-
γματα. ὁ ἀντίχριστος λόγος· ἀεὶ μὲν οὖν τὸν ἀναγινώσκοντα· νῦν
δὲ μάλιστα δεῖ εἰς τὸ νοεῖν σπεύδειν τὴν γραφήν· ὅταν δόγμα φέρ-
ον εἰς ἐρήμωσιν τὴν ψυχήν, διὰ τὴν περὶ τὸ ἀναγινωσκόμενον ἄγνοι-
αν καὶ ἐρημίαν. ὡς ἀλήθειαν διὰ τῶν ἁγίων γραφῶν ὑπὸ ἑτεροδόξου
συνίστηται. βδέλυγμα δὲ ἐρημώσεως ἐν τῇ συντελείᾳ ἐπὶ ἐρημώσει
τοῦ κόσμου· καὶ ὁ ἀντίχριστος ἔλθοι καὶ καθίσας εἰς τὸν ναὸν τοῦ
θεοῦ ἀποδεικνύων ἑαυτὸν θεὸν ὑπεραιρόμενος ἐπὶ πάντα θεὸν καὶ σέβασ-
ματα, τῷ τὰ εἴδωλα καθελεῖν. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις «
καὶ θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· προσεύχεσθε δὲ ἵνα μὴ γένη- «
ται, ἡ φυγὴ ὑμῶν χειμῶνος ἢ σαββάτου· κατὰ μὲν τὸν πρόχειρον «
περὶ τῶν καταληψομένων τὴν ἰουδαίαν συμφορῶν, διὰ τὴν δυσκολίαν
τὴν ἀπὸ τοῦ πολέμου τοῦτό φησιν. εἰς τοσαύτην γὰρ οἱ πολέ-
μοι τραπήσονται ὠμότητα, ὥστε οὔτε τὰς ἐγκύους καὶ τὰ βρέφη ἐ-
λεῆσαι. τὸ δὲ εὔχεσθαι ἵνα μὴ γένηται ἡ φυγὴ ἐν σαββάτῳ ἢ ἐν
χειμῶνι, ὡς πρὸς ἰουδαίους τὸ τοῦ σαββάτου διακρινομένους φησίν,
εἰ δεῖ μεῖναι καὶ ἀναιρεθῆναι, ἢ φυγεῖν. καὶ τῆς Μωσαϊκῆς ἐντολῆς
καταφρονῆσαι· ὅτι δὲ ἐν χειμῶνι φεύγειν οὐ ῥᾴδιον ἐστὶν εὔδηλον· ἄλλως
ὥστε δὲ ἀνακτέον τὸν λόγον καὶ ἐπὶ τὸ ὑψηλότερον. ἐγκύους λέγει

τὰς ἐγχυμονούσας ψυχὰς ἑτερόδοξον λόγον ἢ ἀπράξεως φαυλότητα·
θηλαζούσας δὲ τὰς εἰς ἔργον καὶ εἰς φανερὸν ἐχούσας, τὸν ἀπὸ
κακίας κυοφορούμενον ἑτερόδοξον λόγον, ἢ τὴν κακοπραξίαν. ὁ
τοίνυν μαθὼν εὐλόγως φεύγειν, καὶ ὅπως, καὶ ὅτι εὐχέσθω ἐν
εὐδίᾳ ψυχῆς τοῦτο ποιεῖν, καὶ μὴ ἐν χειμῶνι, καὶ ὅτι οὐχ ἐπὶ
ἑβραϊκῇ ἑορτῇ. ἐν χειμῶνι δὲ ἐσμέν, ὅταν τὰ πάθη τῆς σαρ-
κὸς δυναστεύῃ ἐν ἡμῖν, ἤτοι ὅταν τὰ χείρονα ἐν ἡμῖν κρατῇ.
ἐν σαββάτῳ δὲ ὅταν ἀργίᾳ τῆς ζωῆς ἡμῶν παραπεμψώμεν πράτ-
τειν ἃ μὴ δεῖ ὑπὸ τῶν διωκόντων ἀναγκαζόμενοι. τηρεῖ δ' ὅτι καὶ
αἰχμαλωτισθέντος τοῦ λαοῦ, ἑβδομήκοντα ἔτη σαββατίζειν ἡ γῆ.
καὶ τὸ σάββατον τοῦ σαββάτου κακὸν ἴσως ἐστὶ καὶ ἀτροφίας
δεῖ δὲ παραιτεῖσθαι καὶ αἰχμαλωσίαν καὶ ἀτροφίαν. "ἔσονται
13, 19 "γὰρ αἱ ἡμέραι ἐκεῖ καὶ θλῖψις οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς
"κτίσεως ἧς ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται."
μηδεὶς νομίσῃ τὸ εἰρημένον ὑπερβολικῶς εἰρῆσθαι, ἀλλ' ἐντυχὼν τοῖς
ἰωσήππου γράμμασι μανθανέτω τῶν εἰρημένων τὴν ἀλήθειαν, δεικνύ-
σι δὲ αὐτοὺς καὶ χαλεπωτέρας τιμωρίας ἀξίους τῆς εἰρημένης, ἐκ
τοῦ ἐπαγομένου. "εἰ γὰρ μὴ ἐκολόβωσεν ὁ κύριος φησὶ τὴν
ἡμέραν," ἀλλ' ἐπὶ πλεῖον ἐκράτησεν ὁ ῥωμαίων πόλεμος ἅπ-
αντες ἂν ἀπώλοντο ἰουδαῖοι, πᾶσαν γὰρ σάρκα τὴν ἰουδαϊκὴν
λέγει. τουτέστι καὶ οἱ ἔξω καὶ οἱ ἔνδον, οὐ γὰρ δὴ μόνον τοῖς
ἐν ἰουδαίᾳ ἐπολέμουν, ἀλλὰ καὶ τοὺς πανταχοῦ γῆς διεσπαρμένους.
ἐκλεκτοὺς δὲ φησὶν ἐνταῦθα, τοὺς ἐν μέσῳ αὐτοῦ ἀπειλημμένους
πιστούς. ἵνα γὰρ μὴ λέγωσιν ἰουδαῖοι ὅτι δι' αὐτοὺς καὶ τὸ κήρυγμα

ταῦτα γέγονε τὰ κακά, δείκνυσι τοὐναντίον, ὅτι εἰ μὴ ἐκεῖνοι ἦσαν.
πρόρριζοι ἂν ἅπαντες ἀπώλοντο· ἀλλ᾽ ἵνα μὴ συναπόλωνται τοῖς ἀ-
πίστοις ἰουδαίοις οἱ ἐξ αὐτῶν γενόμενοι πιστοί, τάχιον κατέλυσε τὴν
μάχην καὶ πέρας ἔδωκε τῷ πολέμῳ. "Καὶ τότε ἄν τις ὑμῖν εἴπῃ
ἰδοὺ ὧδε ὁ χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε. ἐγερθήσονται γὰρ ψευ-
δόχριστοι καὶ ψευδοπροφῆται." Πληρώσας τὰ περὶ τῶν ἱεροσολύ-
μων, εἰς τὴν αὐτοῦ λοιπὸν διαβαίνει τὴν παρουσίαν, καὶ λέγει αὐτοῖς
τὰ σημεῖα, οὐκ ἐκείνοις χρήσιμα μόνον, ἀλλὰ καὶ ἡμῖν καὶ τοῖς μεθ᾽ ἡμ-
ᾶς ἐσομένοις ἅπασι. τὸ δὲ τότε, οὐχὶ τῆς ἀκολουθίας ἐστὶ τοῦ καιροῦ
τῶν ἔμπροσθεν εἰρημένων, ἀλλ᾽ ἐν τῷ καιρῷ ᾧ μέλλει γίνεσθαι ταῦτα
ἃ μέλλει λέγειν. ἔθος γὰρ τοῦτο τῇ γραφῇ χρῆσθαι τῆς ἱστορίας τῷ
τρόπῳ. καὶ πῶς ἀπὸ τοῦ τόπου αὐτοὺς ἀσφαλίζεται, λέγων τὰ ἰδι-
ώματα τῆς αὐτοῦ παρουσίας, καὶ τὰ τῶν πλάνων δείγματα. οὐ γὰρ
ὥσπερ ἐν τῇ προτέρᾳ ἐν βηθλεὲμ ἐφάνη, καὶ ἐν γωνίᾳ μικρᾷ τῆς οἰ-
κουμένης, οὕτω φησὶ καὶ τότε ἔσται, ἀλλὰ φανερῶς ὥστε μὴ δεῖσθαι
τοῦ ταῦτα ἀπαγγέλλοντος. διὸ ἐάν τις ὑμῖν εἴπῃ φησὶν ἰδοὺ ὧδε ὁ
χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε. καὶ ἐπὶ μὲν τῶν ἀποστόλων τοῦτο
ἐπεχείρησαν τινὲς (τινῶν)· καὶ τοὺς πολλοὺς ἠπάτων, οἱ δὲ πρὸ τῆς αὐτοῦ
ἐρχόμενοι παρουσίας, ἐκείνων πικρότεροι. ποιήσουσι γάρ φησι σημεῖα
ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς, τῷ ψευδοχρίστῳ διακο-
νούμενοι. ἐπὶ μὲν γὰρ τῶν ἰουδαίων ψευδοπροφῆται γεγόνασι· ψευ-
δόχριστοι δὲ ἐπὶ τῆς καινῆς. τοὺς αὐτοὺς δὲ νῦν τούτους κἀκείνους
φησί· ἔτι γενικῶς μὲν εἷς ἀντίχριστος καὶ τὸ ψεῦδος ἕν· εἰδικῶς δὲ

τινὸς ψευδῆ

πολλοὶ, καὶ πολλὰ δόγματα ὡς μὲν δι' ἀληθοῦς λόγου χριστοῦ προφῆ-
» ται, καὶ ἀντιχρίστου τινὸς ψευδοῦς λόγου προφῆται. ἀλλ' ἐν ἐκεί-
» ναις ταῖς ἡμέραις μετὰ τὴν θλίψιν ~~φησὶ εὐθέως~~ ἐκείνην ὁ ἥλιος
» σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. μετ' ἐκεί-
νην τὴν θλίψιν φησὶ εὐθέως αὐτὸς παρέσται, μετασχηματιζομέ-
νης λοιπὸν αὐτῆς τῆς κτίσεως. καὶ γὰρ ὁ ἥλιος σκοτισθήσεται οὐκ
ἀφανιζόμενος. ἀλλὰ νικώμενος τῷ φωτισμῷ τῆς παρουσίας αὐτοῦ.
καὶ τὰ ἄστρα πεσοῦνται. τίς γὰρ αὐτῶν ἔσται χρεία φησὶ νυκτὸς
οὐκ οὔσης. καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, ὁρῶσαι
τοσαύτην μεταβολὴν γινομένην. οἱ δὲ τὴν ἐκπύρωσιν εἰσάγοντες
ἑλλήνων σοφοὶ, τὰ μὲν περὶ ἡλίου καὶ σελήνης δέχονται. τὸ δὲ ἀσ-
τέρας ἐξ οὐρανοῦ πεσεῖν οὐκέτι. τὸ δὲ βαρὺ καὶ γήινον μόνον ~~ἐπὶ~~ ὡς
ἐπὶ συγγενῆ τόπον, κινεῖ, τὴν γῆν. ζητοῦσι δέ τινες αἱ σαλευό-
μεναι τῶν οὐρανῶν δυνάμεις. οἷς λεκτέον τὸ κατὰ τὸ ῥητὸν, ὅτ.
ὡς ἐκ πολλοῦ τῆς ἐκπυρώσεως καπνοῦ, ἢ ἀπὸ τοῦ μηκέτι τρέφε-
σθαι ταῖς ἀναθυμιάσεσιν, οἱ μεγάλοι φωστῆρες σκοτίζονται, καὶ οὐ
δίδωσι τὸ φῶς οὔτε μαραινομένου τοῦ ἐκ τῶν ἄστρων φωτὸς τὸ
λειπόμενον γεῶδες, οὐ δυνάμενον μετεωρίζεσθαι. ἔξεδρον ἀπὸ τῶν
οὐρανῶν ἔσται, αἵτε λογικαὶ τῶν οὐρανῶν δυνάμεις ξένον σάλον πα-
θοῦσαι καὶ τοῦ διεληλυθότος κύτας πάλιν κάμπτοντος σαλευθήσονται
τάχα ἐπὶ τὸ βέλτιον τοὺς ἀπίστους εἰς συναίσθησιν ἐλθόντας θρη-
νοῦσιν ἐπὶ τῷ κακῶς εἰρηκέναι χριστιανισμόν. εἰ δὲ ἀναγωγῆ ἑρμῆς
σκοτιζόμενον ἥλιον τὸν διάβολον ἐπὶ πολὺ μὲν μετασχηματιζόμενον
εἰς ἄγγελον φωτὸς καὶ πολλοὺς ἀπατήσαντα ὡς ἥλιον. ἐπὶ δὲ
συντελείᾳ ἐλεγχθησόμενον σκότος καὶ ὑποκριτὴν ἀνατολῆς. σελήνην
δὲ οὐ δωσοῦσαν τὸ φέγγος τὴν τῶν πονηρευομένων ἐκκλησίαν, ἐπα

γγελλομένην

ἐπαγγελλομένην μὲν διδόναι τὸ φῶς· τότε δὲ ἐλεγχθησομένην, ἀνατρα-
πέντων αὐτῆς τῶν δογμάτων, τοὺς δὲ ἐν ὑψώμασι λόγων ἐπαιρομένους
κατὰ τῆς γνώσεως τοῦ θεοῦ τοὺς πεσουμένους ἀστέρας ἐκ τοῦ ἰδίου οὐρα-
νοῦ· υἱὸν δὲ ἀνθρώπου ἑαυτὸν φησὶν ὡς ἐν σώματι ἐλευσόμενον.
καθὰ καὶ ἀνελήφθη ἐρχόμενος ἐν νεφέλαις φησὶν ὡς ἐν ταῖς πράξεσιν ἔφη
ὅτι νεφέλη ὑπέλαβεν αὐτόν· καὶ ἰδοὺ ἄνδρες δύο εἶπον αὐτοῖς
οὗτος ὁ Ἰησοῦς οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πο-
ρευόμενον εἰς τὸν οὐρανόν· ὥσπερ δὲ ὅτε μετεμορφώθη· παραλα-
βὼν τοὺς τρεῖς μαθητάς, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· οὕ-
τω ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἐνδοξότερον μεταμορφωθεὶς ἐπὶ
πλειόνων ἥξει νεφελῶν, ὥσπερ ἂν οὐ τρισὶν ἀλλὰ πλείοσιν ὁρώ-
μενος, εἰ δὲ ἀναγωγῇ νεφέλαι ἐφ' ὧν ὁ κύριος ἔρχεται αἱ θεῖ-
αι γραφαί, δεικνύουσαι τὴν ἔνδοξον τοῦ λόγου ἐπιδημίαν· εἶτα εἰ-
πὼν ὅτι τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, ἔδειξε τὸν υἱὸν
τοῦ ἀνθρώπου, θεόν· θεοῦ γὰρ οἱ ἄγγελοι, καὶ τὸ ἀποστέλλειν
αὐτοὺς ἴδιον θεοῦ. τὸ δὲ ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ διδάσ-
κει ἡμᾶς τὰ αὐτὰ εἶναι γῆς καὶ οὐρανοῦ ἄκρα, συνάγονται δὲ
ὑπὸ τῶν ἀγγέλων τοῦ θεοῦ ἤτοι ἀπὸ τῆς παρουσίας τοῦ χριστοῦ
μέχρι τῆς συντελείας κλητοὶ καὶ ἐκλεκτοὶ ἢ καὶ οἱ ἀπὸ κτίσεως καὶ
καταβολῆς κόσμου· χαρέντες ἐπὶ τῷ ἰδεῖν τὴν ἡμέραν χριστοῦ ὡς
Ἀβραάμ. τάχα ἐν τῷ μεταξὺ παρὰ τοῖς προπαιδεύουσι τὰ οὐράνια
ἀγγέλοις διατρίβοντες· ἵν' ὑπὸ τελείῳ διδασκάλῳ λόγῳ θεοῦ παιδ-
ευθέντες συμβασιλεύσωσιν αὐτῷ. Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν
παραβολήν· ὅταν αὐτῆς ὁ κλάδος ἁπαλὸς γένηται καὶ ἐκφύει

τὰ φύλλα γινώσκεται ὅτι ἐγγὺς τὸ θέρος ἐστί. τὸ παράδει-
γμα τῆς συκῆς τίθησιν, ὡς οὐ πολὺ τὸ μέσον, ἀλλ' ἐφεξῆς μετὰ
τὴν θλῖψιν ἐκείνην, καὶ ἡ παρουσία ἀπαντήσεται. ἐντεῦθεν δὲ
καὶ ἕτερόν τι προφητεύει θέρος καὶ γαλήνην ἐσομένην ἐκείνην
τὴν ἡμέραν ἀπὸ χειμῶνος τοῖς δικαίοις· τοῖς δὲ ἁμαρτωλοῖς τοὐ-
ναντίον. χειμῶνα ἀπὸ θέρους, ἄλλως. συκῇ παραβάλλεται ὁ πᾶς
κόσμος οὗ ἡ συντέλεια προφητεύεται ἢ ἕκαστος τῶν ἐπὶ τὸ μα-
κάριον ζῆν ὁδευόντων, καὶ τὸ ἰδεῖν τὴν χριστοῦ λόγου ἔνδοξον ἐ-
σομένην αὐτῷ καὶ τελείαν ἐπιδημίαν, ὡς γὰρ ἡ συκῆ, οὕτω καὶ
ὁ κόσμος καὶ ἕκαστος τῶν σωζομένων. νῦν μὲν ὡς ἐν χειμῶνι δυνά-
μει ἔχει φύλλα, καὶ καρπούς. ὕστερον δὲ ἐνεργείᾳ. τῷ ἐν τῷ θέρει
φανερωθησομένων. καὶ ὁ χειμασθεὶς δὲ ἐν τῷ πειρασμῷ, ἐπὶ θέ-
ρος ὁδεύει φέρων ἁπαλὸν κλάδον, τὸ μὴ σκληρὰν ἔχειν καρδίαν. καὶ αἱ
ἐν ἔργοις προκοπαὶ φέρουσι τὰ φύλλα, ἡ δὲ τελειότης τοὺς καρπούς.
ὡς ἄμπελος δὲ ἀληθινὴ ὁ σωτήρ, οὕτω καὶ συκῆ τὸ ἅγιον πνεῦμα
τὸ φέρον τοὺς σωτηρίους καρπούς, τὰ σῦκα τὰ χρηστὰ λίαν, ὧν
″ ἡ παλαιὰ ἐθεράπευσεν ἐξουσίαν τὸν βασιλέα. ἀμὴν λέγω ὑμῖν ὅτι
″ οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, μέχρις οὗ τὰ πάντα γένηται.″
γενεὰν νῦν λέγει τὴν τῶν πιστῶν. οἶδε γὰρ γενεὰν ἡ γραφὴ οὐκ
ἀπὸ χρόνων χαρακτηρίζειν, ἀλλὰ καὶ ἀπὸ τρόπου θρησκείας καὶ
πολιτείας, ἄλλοις δὲ γενεὰν φησὶ τὴν πονηρὰν τῷ τρόπῳ καὶ τοῖς
προσωποῖς διδάσκων, ὅτι παρόντων καὶ ὁρώντων τῶν ἀσεβῶν καὶ χριστο-
κτόνων, δείξει τὴν ἀπ' οὐρανοῦ δόξαν αὐτοῦ ὥστε πληρωθῆναι τό,
ὄψονται εἰς ὃν ἐξεκέντησαν. ἄλλο δὲ πάλιν περὶ τῆς κατ' ἐκεῖνον
τὸν καιρὸν γενεᾶς λέγειν αὐτὸν φησί. τὸ δὲ ″μέχρις οὗ ταῦτα
πάντα γένηται″ φησὶν ἀντὶ τοῦ ἕως οὗ συμβήσεται ἰουδαίοις τὰ

προλεχθέντα, διὰ τούτων πιστούμενος καὶ τοὺς περὶ συντελείας λόγ-
ους. ἐπεὶ δὲ δεικτικὸν τὸ αὕτη, οἱ πλείους ἀνάγουσι (ἀροίσουσι) τὸν λόγον
ἐπὶ τὴν καθαίρεσιν τῆς Ἱερουσαλὴμ ἣν εἶδον καὶ οἱ καὶ τὸ πάθος (τοῦ) Χρι-
στοῦ ἰδόντες. λέγει δὲ ὅτι πάντως ἐκβήσεται τὰ εἰρημένα καὶ μέ-
νει ἡ γενεὰ τῶν πιστῶν οὐδενὶ τῶν προτέρων (εἰρημένων) διακοπτομένη. ἢ ἐπεὶ
πολύσημος ἐν τῇ γραφῇ ἡ γενεὰ λέξις δηλοῖ δὲ καὶ τὸν ἐκ περιτο-
μῆς λαὸν καὶ τὸν ἐξ ἐθνῶν. ἀκουστέον ὅτι οὐ μὴ παρέλθῃ ἡ ἀρχὴ
τοῦ σωτῆρος τῆς καινῆς διαθήκης γενεὰ οὐδὲ ἐλεύσεται ἐπὶ τὰς
ἐπαγγελίας, ἕως οὗ πάντα ἃ εἶπεν ὁ σωτὴρ γένηται. καὶ ἑκάστῳ δὲ
ἡμῶν ταῦτα γενέσθαι μυστικῶς δεῖ, ἐὰν ἀπὸ τῆς διδασκαλίας ἕως
τέλους ἐν πᾶσί τι διαρκέσας μείνῃ ἀπαθὴς ἄχρι τῆς ἐνδόξου Χρι-
στοῦ ἐπιδημίας (παρουσίας). ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι «
~~αὐτοῦ μένουσι~~ μου οὐ μὴ παρέλθωσι. τουτέστι τὰ πεπηγότα »
ταῦτα, καὶ ἀκίνητα εὐκολώτερον ἀφανισθήσεται, ἤ τι τῶν ἐμῶν
διαπεσεῖται λόγων. ἤτοι ὁ οὐρανὸς μὲν καὶ ἡ γῆ παρελεύσονται
οἱ δὲ λόγοι αὐτοῦ μένουσι λόγοι ὄντες τοῦ, δι' οὗ τὰ πάντα ἐγένε-
το. ὁ γὰρ λόγος τῶν γεγονότων οὐ παρέρχεται. παρελεύσονται
δὲ οὐρανὸς καὶ ἡ γῆ οὐ μόνον κατὰ τὸ ὑπὸ τῶν πολλῶν νοούμενον
ἀλλὰ καὶ κατὰ τοὺς ἐν οὐρανῷ καὶ τοὺς ἐν γῇ μετωνυμικῶς κα-
λουμένους οὐρανὸν καὶ γῆν. διελεύσονται φησὶ πᾶσαν τὴν ἑαυ-
τῶν κατάστασιν, ἵνα ἔλθωσιν εἰς τὰ ὑπερέχοντα. οἱ δὲ τοῦ σω-
τῆρος λόγοι ἀεὶ τὰ οἰκεῖα ἐνεργοῦσιν ὡς τέλειοι καὶ οὐκ ἐπιδεχό-
μενοι βελτίους γενέσθαι παρελθόντες ὅ εἰσι. διὰ τοῦτο δὲ τὸν
οὐρανὸν καὶ τὴν γῆν εἰς μέσον ἤγαγε μετὰ πολλῆς ἐξουσίας.

,, δεικνὺς ἑαυτὸν δεσπότην τοῦ παντός. ,, Περὶ δὲ τῆς ἡμέρας
,, ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ
,, ὁ υἱὸς εἰ μὴ ὁ πατήρ ,, ἐν τῷ εἰπεῖν οὐδὲ οἱ ἄγγελοι ἐπεστόμι-
σεν αὐτοὺς ὥστε μὴ ζητῆσαι μαθεῖν· ὅπερ εἰς? ἐκεῖνοι οὐκ ἴσασι· τῷ
δὲ εἰπεῖν οὐδὲ ὁ υἱός, κωλύει οὐ μόνον μαθεῖν, ἀλλὰ καὶ ζη-
τῆσαι καὶ ὅτι διὰ τοῦτο οὕτως εἴρηκεν, ὅρα μετὰ τὴν ἀνάστα-
σιν, ἐπειδὴ περιεργοτέρους εἶδε γεγενημένους, πῶς ἐπεστόμισε μειζό-
νως λέγων· οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς· εἶτα
ἵνα μὴ εἴπωσι· διεπλύσθημεν καὶ οὐδενός ἐσμεν ἄξιοι,
ἐπήγαγεν, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· φοβερὸν τὸ
πρᾶγμα ποιῶν, τῷ πατρὶ αὐτοὺς ἀνατίθησιν· ὅτι δὲ τοῦτο
ἐστι, καὶ οὐκ ἀγνοεῖ εὔδηλον, ὡς ὁ τοὺς αἰῶνας ποιῆσαι ἐποίη-
σε καὶ τοὺς χρόνους, εἰ δὲ τοὺς χρόνους καὶ τὴν ἡμέραν, πῶς
οὖν ἣν ἐποίησεν ἀγνοεῖ· εἰ δὲ καὶ τὸν πατέρα οἶδε σαφῶς ὡς
ὡς ἐκεῖνος τὸν υἱόν, πῶς τὴν ἡμέραν ἀγνοεῖ, πῶς δὲ εἰ πάντα δι'
αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, τὴν ἡμέραν
ἠγνόησε· διὰ δὴ τοῦτο πάντα εἰπὼν καὶ τοὺς χρόνους καὶ τοὺς και-
ρούς, καὶ ἐπ' αὐτὴν τὴν θύραν ἀγαγὼν τὸν λόγον, ἐγγύς γάρ
ἐστι φησὶν ἐπὶ θύραις, ἀπεσίγησε τὴν ἡμέραν· ἐπειδὴ καὶ ὁ παρὼν
εὐαγγελιστὴς προστίθησι τοῦτο· ,, οὐδὲ υἱὸς εἰ μὴ ὁ πατήρ· ἔστιν εἰπ-
εῖν, ὅτι εἰ μὴ οἶδεν ὁ πατήρ, οὐδὲ ὁ υἱός· ἀλλ' ἐπειδὴ ἐπίσταται
ὁ πατήρ, οὐδὲ ὁ υἱὸς δηλονότι ἀγνοεῖ ἡ σοφία τοῦ πατρός· ἡ
πάντα ἔχουσα τὰ τοῦ πατρὸς πλὴν τὸ εἶναι αὐτὸ τοῦτο πατήρ, ἄλλως
εἰδὼς ὡς θεὸς λόγος δύναται καὶ ὡς ἄνθρωπος ἀγνοεῖν, ἵνα κατὰ
πάντα ὡς ἀδελφὸς αὐτοῖς ᾖ. ἄλλος δέ τις ἐρεῖ εἰδέναι τὸν σωτῆρα
τοῖς ἀδελφοῖς ὁμοιωθῇ τοῦ τέλους

τ: δῆλον ὅτι οὐδὲ ὁ υἱός

τοῦ τέλους τὸν ἰωβιλαῖον τὸν ἑβδοματικὸν ἐνιαυτόν· καὶ τὸν μῆνα πλὴν
τῆς ἡμέρας καὶ [ξει] ὥρας· ὁ δὲ λέξει πρὸ μὲν τῆς οἰκονομίας χριστοῦ τοῦ-
το λέγειν· μετὰ δὲ τὴν οἰκονομίαν οὐκέτι ὅτι ὁ θεὸς αὐτὸν ὑπερύψ-
ωσε, καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα + καὶ ἕτεροι δέ φησιν ὅτι ὥσπερ + τοῦπὲρ ὄνομα
ὁ Παῦλος φησὶ τότε καὶ ὁ υἱὸς ὑποταγήσεται τῷ πατρί οὐχ ὡς ἀνυ-
ποτάκτου ποτὲ ὄντος, ἀλλ᾽ ὡς μηδέπω τῶν μελῶν αὐτοῦ πάντων τελει-
ωθέντων· οὕτως ἐπεὶ τὸ σῶμα χριστοῦ οὐκ οἶδε τὴν ἡμέραν ἢ τὴν
ὥραν ἐκείνην, οὐδὲ αὐτὸν λέγει εἰδέναι· καὶ ἄλλος ἐρεῖ ὅτι, εἰ δὲ καὶ
ὁ υἱὸς οἶδε τὴν ἡμέραν, τοῦ πατρὸς ἐν ἑαυτῷ ὄντος οἶδε· διὰ τοῦ-
το ἀναφέρει τὴν τοιαύτην γνῶσιν ἐπ᾽ αὐτόν· ἐπεὶ οἶδε μὲν δόγμα
ἢ ἐπιστήμην καὶ ὁ μαθών, κύριος δὲ ὁ εὑρών, οὕτω καὶ ὁ υἱὸς ἤδει
τὰ περὶ τῆς ἡμέρας, κυρίως δὲ ὁ πατὴρ εἰδέναι λέγεται καὶ κατὰ
τὴν τῆς γραφῆς δὲ περὶ τοῦ εἰδέναι συνήθειαν κατὰ τὸ ἔγνω Ἀδὰμ
Εὔαν τὴν γυναῖκα αὐτοῦ· καὶ ἑτέρων πολλῶν, δύναται ὁ υἱὸς νῦν μὴ
προπαρασκευάζειν τὴν γνῶσιν τῆς ἡμέρας καὶ ὥρας τῶν [τοῖς] κληρονόμων [μοις]
τῆς ἐπαγγελίας τῆς ἀφ᾽ οὗ ἑαυτὸν ἐκένωσεν· ἵνα γνῶμεν ἅπαντες
δι᾽ οὓς ἀνέλαβε τὴν τοῦ δούλου μορφήν, γνώσει τὰ τῆς ἡμέρας καὶ
ὥρας ἃ ὁ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν
ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· εἶ-
τα εἰπών· "βλέπετε" "βλέπετε, ἀγρυπνεῖτε, καὶ προσεύχεσθε,
οὐκ οἴδατε πότε ὁ καιρός ἐστι" μονονουχὶ λέγει, διὰ τοῦτο οὖν
εἶπον ὑμῖν ἵνα βλέπητε καὶ ἀγρυπνῆτε καὶ προσεύχησθε, ὡς τὴν
ἡμέραν ἀγνοοῦντες ἐκείνην καὶ ἄδηλον τὸ τέλος ἔχοντες· εἰ γὰρ καὶ
τῷ ἑκάστου ἡμῶν τῆς ἐξόδου τέλος ἀγνοούντων τῆς τῶν ἀγαθῶν ἐργα-

σιας ἔρημοί τινες ἀπέρχονται· εἰ καὶ ἡ συντέλεια δήλη ἦν· τί οὐκ
" ἂν ἐποίησεν· ὡς ἄνθρωπος ἀποδημῶν ἀφεὶς τὴν οἰκίαν αὐτοῦ·
" καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν· καὶ ἑκάστῳ τὸ ἔργον αὐ-
" τοῦ καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ· ἄνθρωπον μὲν ἑαυ-
τὸν ὀνομάζει διὰ τὴν οἰκονομίαν· ἀποδημίαν δὲ τὴν εἰς οὐρανοὺς ἀνά-
ληψιν· ἔργον δὲ ἑκάστου, τὴν τῶν ἐντολῶν ἐργασίαν καὶ τήρησιν ἥτις
ἐμφαίνεται διὰ τοῦ θυρωροῦ· διὰ τοῦτο δὲ εἶπε γρηγορεῖτε ἀεὶ
αὐτοὺς βουλόμενος προσδοκᾶν ἵνα σπουδάζωσι περὶ τὴν τῶν ἀρετῶν
κτῆσιν· διὸ καὶ τὸ τῆς ἑκάστου ζωῆς τέλος ἄδηλον ἐποιήσατο· εἰ γὰρ
ᾔδεισαν οἱ ἄνθρωποι πότε ἀποθανοῦνται πάντως ἂν κατ' ἐκείνην τὴν
ὥραν ἐσπούδασαν μόνον· ἐντεῦθεν οὖν ἐκκεκαλυμμένως καὶ κύριον
αὐτὸν ὀνομάζει· οὐδαμοῦ· οὕτω σαφῶς εἰπών· ἐντεῦθεν δὲ καὶ ἐντρέ-
πειν δοκεῖ τοὺς ῥαθύμους περὶ τὴν ἐργασίαν τῆς ἀρετῆς· ἀπὸ τούτων
γοῦν καὶ τῶν ἑξῆς οὐχ ὡς περὶ τῆς καθολικῆς· ἀλλ' ὡς περὶ τῆς ἑκ-
άστου συντελείας μάλιστα ἐκληπτέον τὸν λόγον· οὗτοι γὰρ ταῦτα ἤκουον,
ὧν μακρὰν τὸ καθολικὸν γρηγορεῖν διὰ τὴν ἐσομένην ἐν τῇ διανοίᾳ αὐ-
τῶν ἐπιδημίαν τοῦ λόγου, οὕτω· ὡς ἔμελλεν ἔσεσθαι ἡ γεγενημένη αὐτοῦ
καὶ πῶς δὲ οἱ γρηγοροῦντα ὁ λόγος εἶπεν· εἰ καὶ μηδέπω ὡς ἥλιος
ἀλλ' ὡς λύχνος φωτίζει· ἐπιτηρεῖν ὀφείλει καίων τὸν λύχνον, τὴν τοῦ
κυρίου ἐπιδημίαν, εἴτε ἐν τῇ ἐξόδῳ τοῦ βίου· εἴτε καθ' ἣν συντέλεια τοῦ
αἰῶνος τούτου γίνεται αὐτῷ· καὶ ὁ μὲν κύριος ἐλθὼν εἰσέρχεται
εἰς οἰκίαν, ψυχὴν οἰκοδεσπότου, νοῦ· ὁ δὲ κλέπτης ἀντικείμενος
διορύσσων τὰς φυσικὰς ἐννοίας τῆς ψυχῆς, ἃς ᾠκοδόμησεν ὁ λόγος
καὶ ἀνατρέπων ἵνα σκυλεύσῃ τὸν νοῦν· τάχα δὲ μετὰ τὸν κλέπτην

ἔρχεται ὁ κύριος· ἐκείνῳ δὲ ἔρχεται, οὗ ὁ κλέπτης γρηγοροῦντος ἀπέ-
στη· τῷ δὲ διορυχθέντι οὔ. Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα με- κ. 14.
τὰ β ἡμέρας, καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν
ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσι; Πρὸ β ἡμερῶν τοῦ πάθους ἠβου-
λήθησαν αὐτὸν κατασχεῖν· ὅθεν καὶ τῆς τετάρτης ἐν τῇ ἑβδομάδι
νηστείαν ἄγομεν, ὡς τοῦ πάθους ἀρχῆς τοῦ κυρίου κατ' αὐτὴν ἐπιτελε-
σθέντος. καὶ τὴν μὲν ἑορτὴν ὑπερθέσθαι βούλονται, οὐ συγχωροῦνται
δέ· ἔδει γὰρ τὴν προφητείαν πληροῦσθαι τὴν ἐν τῇ νομικῇ διατυπώ-
σει, ἐν ᾗ τὸ πάσχα ἐθύετο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός·
ἔδει γὰρ ἀληθινὸν καὶ ἀληθινὸν πάσχα, ἐν τῷ αὐτῷ μηνί, καὶ τῇ αὐτῇ
ἡμέρᾳ τυθῆναι. πρὸς δὲ τούτῳ δείκνυται, καὶ ὡς ἑκόντι ἑαυτὸν ἐξέδωκε
τὸ ὑπὲρ ἡμῶν πάθος καταδέξασθαι· βουλόμενοι γὰρ κατασχεῖν αὐτὸν πολ-
λάκις, οὐκ ἴσχυσαν· ὅτε δὲ μὴ συλλαβέσθαι αὐτὸν ἐβούλοντο, τότε ἑαυ-
τὸν ἐκδοὺς παρὰ πᾶσαν ἐλπίδα, τὸ σπουδαζόμενον αὐτοῖς εἰς πέρας ἐξελ-
θεῖν παρεσκεύασε. Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ
Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον
μύρου νάρδου πιστικῆς πολυτίμου· καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέ-
χεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς. Δοκεῖ μὲν τισὶ γυνὴ μία εἶναι καὶ ἡ αὐ-
τὴ παρὰ τοῖς εὐαγγελισταῖς ἅπασιν· οὐκ ἔστι δέ, ἀλλὰ πᾶσι ἐν ~~τ~~ τοῖς τρι-
σὶ μία τις εἶναι ἐμοὶ δοκεῖ καὶ αὐτή· παρὰ δὲ Ἰωάννῃ οὐκέτι, ἀλλ' ἑτέρα τις
θαυμαστὴ ἡ τοῦ Λαζάρου ἀδελφή· ἄλλοι δὲ ἄλλην μὲν εἶναί φησι τὴν πα-
ρὰ Ματθαίῳ καὶ Μάρκῳ καταχέασαν τῆς κεφαλῆς τὸ μύρον, ἐν τῇ
οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ· ἄλλην δὲ τὴν παρὰ τῷ Λουκᾷ γεγραμμένην
ἁμαρτωλὸν καταχέασαν τῶν ποδῶν αὐτοῦ τὸ μύρον, ἐν τῇ οἰκίᾳ τοῦ Φα-

ριστοιου, καὶ ἄλλην τὴν παρὰ τῷ ἰωάννῃ ἀδελφὴν τοῦ Λαζάρου, ὡς εἶναι
τὰς πάσας τρεῖς· ἕτεροι δὲ μίαν καὶ τὴν αὐτὴν φασὶ παρὰ πᾶσιν εὐαγγε-
λισταῖς· ἀκριβέστερον δὲ τὸν ἰωάννην τὴν ἱστορίαν ἐκδεδωκέναι. φαίνονται
δὲ Ματθαῖος καὶ Μάρκος καὶ ἰωάννης περὶ τῆς αὐτῆς λέγοντες·
ἐν Βηθανίᾳ γὰρ γεγενῆσθαί φασι· κώμη δὲ αὕτη. Λουκᾶς καὶ [δὲ] περὶ
ἑτέρας· καὶ ἰδοὺ γὰρ γυνή φησιν ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός·
ὡς εἶναι ταύτην μὲν ἁμαρτωλὸν καὶ ἐν τῇ πόλει· ἐκείνην δὲ μὴ ἁμαρ-
τωλὸν ἀναγεγράφθαι, καὶ ἐν Βηθανίᾳ τῇ κώμῃ· ἀποδέχεται τοίνυν
αὐτοῖς [αὐτῆς] ὁ σωτὴρ τὴν προθυμίαν, οὐ μάτην λέγων τὸ λαληθήσεται
ἐν ὅλῳ τῷ κόσμῳ μετὰ τοῦ κηρύγματος τοῦ εὐαγγελίου, καὶ τὸ τῆς
γυναικὸς ἔργον, ἀλλ' ὅτι τύπον ἐπεῖχε τῆς προσαγούσης χριστῷ τὴν
πίστιν ἐκκλησίας ὥσπερ μύρον εὐωδέστατον· καὶ γὰρ πιστικὴν τὴν νάρ-
δον ὀνομάζουσι, καὶ πολύτιμον λέγουσι. φησὶ δὲ εἰς τὸν ἐνταφιασ-
μὸν αὐτοῦ συντελεῖν τὴν τοῦ μύρου ἄλειψιν, καὶ ὃ ἔσχε φησὶν ἐποίη-
σε· προέλαβε γὰρ μυρίσαι τὸ σῶμά μου εἰς τὸν ἐνταφιασμόν.
ἐπὶ γὰρ τῷ θανάτῳ μάλιστα τοῦτο ἐποίουν· τοῦτο δὲ εἶχεν ἵνα
γνοῖεν ὅτι προεγνώκει τὸ πάθος· τῷ δὲ αἰτιωμένῳ τὴν τοῦ μύρου
ἔκχυσιν διαφόρων ὄντων, ὁ μὲν ἰωάννης ἰούδα μόνου μνημονεύ-
ει τοῦ προδότου· ὁ δὲ Ματθαῖος τῶν ἀποστόλων· ὁ δὲ Μάρκος τι-
νῶν οὐχ ἁπάντων, οὐ τὴν τοῦ λέγοντος δὲ ἐξελέγχει προαίρεσιν ὁ
κύριος ἀπὸ πονηρίας λέγοντος αὐτῷ τοῦ [τοῦτο] ἰούδα· καὶ κατ' αἰσχροκερ-
δειαν· ἀλλ' οὐδὲ τοῖς ἄλλοις μέμφεται κατὰ ὑγιῆ λογισμὸν αἰτιασα-
μένοις· οὐκ εἰδότες γὰρ τὸ τοῦ πραχθέντος [εὔ]λογον ᾐτιῶντο τὴν
πρᾶξιν· ἤκουον γὰρ τοῦ διδασκάλου λέγοντος, ἔλεον θέλω καὶ οὐ θυ-
σίαν, καὶ πολλὰ περὶ τῆς ἐλεημοσύνης διαλεχθέντος· καὶ ἀπὸ τούτων
συνελογί-

συνελογίζοντο πρὸς ἑαυτούς· ὡς πολλῷ κρεῖττον ἦν τὴν τιμὴν τοῦ μύρου
διανεμηθῆναι τοῖς πένησιν· ὁ δὲ σωτὴρ τὴν διάνοιαν αὐτῶν ὁρῶν ἀφίησιν·
οὐ γὰρ ἀπῄτει ὁ καιρὸς ὡς διορθῶσαι τὸ γεγενημένον· ὥσπερ γὰρ
εἴ τις αὐτὸν ἤροιτο πρὸ τοῦ ποιῆσαι τὴν γυναῖκα τοῦτο, οὐκ ἂν τοῦτο
ἀπεφήνατο· οὕτω μετὰ τὸ ἀγορασθῆναι καὶ χυθῆναι τὸ ἔλαιον·
ἄκαιρος ἦν ἡ ἐπιτίμησις· διὸ καὶ αὐτὸς ὥστε μὴ πηρῶσαι τὴν γνώμην
τῆς γυναικός, ταῦτα ὅσα φησὶν εἰς παραμυθίαν αὐτῇ λέγει· ἐγὼ
γάρ φησι τοσοῦτον ἀπέχω τοῦ καταδικάσαι αὐτὴν ὡς καλῶς πεποιη-
κυῖαν, ὅτι οὐδὲ ἀφήσω λαθεῖν τὸ γενόμενον, ἀλλ' ὁ κόσμος εἴσε-
σεται τὸ ἐν οἰκίᾳ καὶ ἐν κρυπτῷ εἰργασμένον· καὶ γὰρ ἀπὸ μεγά-
λης διανοίας ἦν τὸ γενόμενον καὶ πολλῆς τεκμήριον πίστεως· εἰπόντες
δὲ ἠδύνατο τριακοσίων δηναρίων πραθῆναι, ἔδειξαν ὅσον ἀνήλωσεν εἰς
τὸ μύρον, καὶ ὅσην ἐπεδείξατο τὴν προθυμίαν, εἰπὼν δὲ ὁ σωτήρ
"καὶ ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ" διὰ
τούτου πάλιν, τὴν εἰς τὰ ἔθνη ἔξοδον προαναφωνεῖ· προστεθείκασιν
αὐτοῦ τὸ παράσημον οἱ εὐαγγελισταὶ ὅτι ἦν καὶ ἄλλος ἰούδας, καὶ
οὐδὲ παραιτοῦνται εἰπεῖν ὅτι τῶν ιβ ἦν· οὐδὲν γὰρ κρύπτουσι τῶν
ἐπονειδίστων· δεδοικὼς δὲ τὸν ὄχλον ὁ ἰούδας μόνον αὐτὸν ἀπολαβεῖν
ἤθελε· καίτοι τῆς αὐτοῦ δυνάμεως καὶ θεότητος πολλὰς ἀποδείξ-
εις λαβών· προσεδόκησεν αὐτὸν καθέξειν μὴ βουλόμενον· κο "Καὶ
τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον λέγουσιν αὐ-
τῷ οἱ μαθηταὶ αὐτοῦ· ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα
φάγῃς τὸ πάσχα" πρώτην τῶν ἀζύμων τὴν πρὸ τῶν ἀζύμων φησίν·
εἰώθασι γὰρ ἀπὸ τῆς ἑσπέρας ἀριθμεῖν τὴν ἡμέραν ἀεὶ οἱ ἰουδαῖοι

ἕτερος δὲ πρὸ μιᾶς τῶν ἀζύμων ἡμέραν μνημονεύσας ἐκείνην
φησὶ καθ' ἣν ἐν τῇ ἑσπέρᾳ τὸ πάσχα ἔμελλε θύεσθαι, ὅθεν δῆλον
ὅτι τὴν αὐτὴν ἐδήλωσαν ἀμφότεροι· τῇ γὰρ πέμπτῃ τοῦ σαββάτου
προσῆλθον καὶ ταύτην ὁ μὲν τὴν πρὸ τῶν ἀζύμων καλεῖ· ὁ δὲ αὐ-
τὴν τὴν τῶν ἀζύμων φησί· ἑκάτερος ἀληθεύων, ἀπὸ γὰρ τῆς ἑσπέρας
ἤρξατο· διὸ καὶ ἕκαστος προστίθησιν ὅτε ἐθύετο τὸ πάσχα. λέ-
γουσιν οὖν αὐτῷ οἱ μαθηταί· ποῦ θέλεις ~~ἑτοι~~ ἑτοιμάσομέν σοι φαγεῖν
τὸ πάσχα. ἐντεῦθεν δῆλον δηλοῖ ὅτι οὐκ ἦν αὐτῷ καταγώγιον.
τούτου δὲ ἕνεκα τὸ πάσχα αὐτοῖς ἐπιτελεῖ· διὰ πάντων δεικνὺς μέ-
χρι τῆς ἐσχάτης ἡμέρας, ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ. ὁ δὲ πρὸς
ἀγνῶτα πέμπει ἄνθρωπον, δεικνὺς διὰ πάντων, ὅτι ἠδύνατο μὴ
παθεῖν εἰ οὐκ ἐβούλετο· ἀλλ' ἑκουσίως ἑαυτὸν ἐκδέδωκεν· ὁ γὰρ τὴν
διάνοιαν τούτου ~~[illegible]~~ μεταθεὶς ἀπὸ ψιλῶν ῥημάτων· τί οὐκ ἂν εἰρ-
γάσατο ἐν τῷ ἄλλῳ· εἶτα ἐπειδὴ ἠγνόουν, καὶ σημεῖον αὐτοῖς δίδω-
σιν ὡς οὗτος καὶ Λουκᾶς ἱστοροῦσι· τὸ δὲ σημεῖον ἦν ὁ τὸ κερά-
μιον βαστάζων, καὶ πάντως οὐδέτερος αὐτῶν εἴρηκεν ὅτι ἔθομαι τὸ
πάσχα ἀλλὰ ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθη-
τῶν μου φάγω· ὥστε καὶ ἀρχοῦσαν γενέσθαι τὴν παρασκευὴν καὶ
ἐκεῖνον μὴ νομίσαι κρύπτεσθαι αὐτόν. Ματθαῖος δὲ εἴρηκε μόνος
τὸ πρὸς σὲ ποιῶ τὸ πάσχα. δύναται δὲ ταῦτα τὴν παρασκευὴν
τοῦ πάσχα δηλοῦν οὐ τὴν βρῶσιν. ὁ γὰρ Ἰωάννης δηλοῖ, κατὰ
τὴν τοῦ πάθους ἡμέραν καὶ ὥραν, τό τε τυπικὸν πάσχα, καὶ τὸ
ἀληθινὸν ἐπιτελεσθῆναι. ἀποστείλας ἐκεῖνον τοὺς μαθητὰς ὁ σωτὴρ
ἔφη αὐτοῖς ἀπελθεῖν εἰς τὴν πόλιν, καὶ ὅτι ἀπαντήσεται αὐτοῖς
ἄνθρωπος, κεράμιον ὕδατος βαστάζων, ἐρχομένους ἐπιστῆναι δεῖ τῇ

τοῖς ἄλλοις

ὕδατος

~~[illegible]~~

οἰκία εἰς ἣν ἐκεῖνος εἰσέρχεται· εἶτα τῷ δεσπότῃ τῆς οἰκίας εἰπεῖν
τὰ ἀκόλουθα ταῦτα καὶ παραλέλειπται τῷ Ματθαίῳ ἁπλῶς εἰρη-
κότι, κελεύσειν αὐτοὺς πρὸς τὸν δεῖνα ἀπελθεῖν, καὶ τότε εἰπεῖν
καὶ γὰρ ἐν πολλοῖς εὑρήσει τις αὐτὸν ἁπλῶς τοῦ μηνῦσαι τὰ πραγ-
ματικὰ μόνον γενόμενον, πλεῖστα παραλιμπάνοντα τῶν γεγονότων
ἐν μέσῳ, τί καθ᾽ ἕκαστον ἐρευνήσειεν ἀκριβῶς. Καὶ ἐσθιόντων
αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασε καὶ ἐδίδου αὐ-
τοῖς, καὶ εἶπε λάβετε φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. διὰ τοῦ-
το παρέδωκε τοῖς μαθηταῖς ὅπως ἐπιτελεῖν αὐτοὺς προσῆκε τῆς
καινῆς διαθήκης τὸ μυστήριον· διὰ γὰρ τοῦτο καὶ εὐλόγησε καὶ ἐπι-
δίδους αὐτοῖς μεταλαβεῖν ἃ προσῆκεν ἦν, ἵνα ἐκεῖνοι διὰ μὲν τῆς
εὐλογίας καὶ εὐχαριστίας μάθωσιν ὡς μεγάλα ἀληθῶς καὶ πάσης
εὐχαριστίας ἄξια, τὰ διὰ τοῦ πάθους τοῦ Χριστοῦ οἰκονομηθέντα,
ὧν δὴ σύμβολα ταῦτα ἐπιτελεῖσθαι παρεδώκει αὐτοῖς· διὰ δὲ τοῦ
εἰπεῖν, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτο τὸ αἷμά μου, τοῦτο
δηλοῖ, ὅτι τὸν μὲν ἄρτον προτεθέντας μετὰ τὴν εὐχαριστίαν προσῆ- ἐδήλωσε
κεν αὐτοὺς σώματος νομίζειν μεταλαμβάνειν, τὸ δὲ ποτήριον ἐν
τάξει τοῦ αἵματος ἡγεῖσθαι, περὶ ἃ τὸ πάθος ἐγένετο ἐπὶ κοινῇ
τῇ πάντων σωτηρίᾳ τε καὶ ἀφέσει τῶν ἡμαρτημένων αὐτοῦ· ἡ
γὰρ ἐπὶ τούτοις γινομένη πίστις ὁμοῦ τε τῷ πληρωθῆναι τὴν ὁμολογίαν
ἔχει καὶ τὴν μετουσίαν τῆς ἀφέσεως χαρίζεται τοῖς πιστεύουσι.
διδάσκει τε μὴ πρὸς τὴν φύσιν ἀφορᾶν τῶν προκειμένων, ἀλλὰ διὰ
τῆς γινομένης ἐπ᾽ αὐτοῖς εὐχαριστίας, ταῦτα ἐκεῖνα εἶναι πιστεύειν.
ὁ γὰρ ζωοποιὸς τοῦ θεοῦ λόγος, ἑνώσας ἑαυτὸν τῇ ἰδίᾳ σαρκὶ καθ᾽

ὃν οἶδε τρόπον, αὐτοῦ ζωοποιὸν ἀπέφηνεν αὐτήν· ἔφη γὰρ ὅτι ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· καὶ πάλιν· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. οὐκοῦν τοῦτο ποιοῦντες ζωὴν ἔχομεν ἐν ἑαυτοῖς, αὐτοῦ· ἔφη γὰρ ὁ τρώγων μέν μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ· ἔδει γὰρ αὐτὸν, διὰ μὲν τοῦ ἁγίου πνεύματος ἐν ἡμῖν γίνεσθαι θεοπρεπῶς· συνακιρνᾶσθαι δὲ ὥσπερ τοῖς ἡμετέροις σώμασι, διὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ τοῦ τιμίου αἵματος· ὃ δὴ καὶ ἐσχήκαμεν εἰς εὐλογίαν ζωοποιοῦσαν, ὡς ἐν ἄρτῳ τε καὶ οἴνῳ· ἵνα μὴ ἀποναρκήσωμεν σάρκα τε καὶ αἷμα, προκείμενα βλέποντες ἐν ἁγίαις τραπέζαις τῶν ἐκκλησιῶν· συγκαθιστάμενος γὰρ ταῖς ἡμετέραις ἀσθενείαις, ἐνίησι τοῖς προκειμένοις δύναμιν ζωῆς, καὶ μεθίστησιν αὐτὰ πρὸς ἐνέργειαν τῆς ἑαυτοῦ σαρκὸς, ἵνα εἰς μέθεξιν ζωοποιὸν ἐν ἡμῖν εὑρεθῇ τὸ σῶμα τῆς ζωῆς· περὶ πολλῶν δὲ ἐκχυνόμενον λέγει τὸ αἷμα· τὸ περὶ πάντων λέγων· εἷς γὰρ φησὶ Παῦλος, ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ πάντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι· ἰστέον δὲ ὅτι καὶ τῶν μυστηρίων μεταλαβὼν ὁ Ἰούδας ὡς ὁ Λουκᾶς φησιν ἔμεινεν ὁ αὐτός· καὶ τῆς φρικωδεστάτης ἀπολαύσας τραπέζης, οὐ μετεβάλετο· ἔφη γὰρ μετὰ τοῦτο εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς οὐ τοῦ σώματος καταφρονῶν, ἀλλὰ τῆς ἀναισχυντίας καταγελῶν τοῦ προδότου· καὶ οὐκ ἐκώλυσεν αὐτὸν ὁ Χριστὸς, καίτοι πάντα εἰδὼς, δεικνὺς ὅτι οὐδὲν παραλιμπάνει τῶν εἰς διόρθωσιν ἡκόντων· ὡς δὲ καὶ ὁ Ἰωάννης φησὶν ὅτι προεξῆλθεν ὁ Ἰούδας,

οὐ γὰρ ἂν

[Margin notes: "συνανακίνασθαι" beside "συνακιρνᾶσθαι"; "ὡς θεὸς" inserted after "συγκαθιστάμενος γὰρ"; "σπέρμα" written above "σῶμα"; "ἴσως" above "γὰρ"; "εἰς" above "εἰς"]

οὐ γὰρ ἂν ἐδέξατο τῆς σωτηρίου τῆς κοινωνίας τοῦ τύπου ὁ τῆς χριστοκτο-
νίας ὑπηρέτης· εἰ γὰρ καὶ τὰ ἄλλα πάντα ἤνεγκεν ὁ χριστός, ἀλλὰ τοῦ-
το οὐκέτι συγκεχώρητο αὐτῷ. "Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ
μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅ-
ταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ" τοῦτο εἶπεν ὁ χρ-
ιστὸς ἐπειδὴ ἤμελλεν ἀνίστασθαι· καὶ ἀναστὰς ἐσθίειν τε καὶ πίνειν μετὰ
τῶν μαθητῶν· ὥστε μείζονα καὶ ἀληθεστέραν αὐτοῖς τῆς ἀναστάσεως γενέ-
σθαι πίστιν· βασιλείαν γὰρ τοῦ θεοῦ καὶ πατρὸς ὀνόμασε τὴν ἀνάστα-
σιν, ἀφ' ἧς αὐτῷ τε ἡ βασιλεία προσεγίνετο καὶ τοῖς λοιποῖς τῶν
ἀνθρώπων ἡ ταύτης κοινωνία. τὸ οὖν οὐ μὴ πίω αὐτὸ τοῦ λοι-
ποῦ, ἕως τότε, δεικνύντος ἐστὶν οὐ τὴν ἀνάστασιν μόνον, ἀλλὰ καὶ τοῦ
πάθους τὴν ἐγγύτητα εἴπερ δὴ οὐκέτι καιρὸς ἕξει τροφῆς τε αὐτοῖς
κοινωνῆσαι καὶ ποτοῦ. τί δήποτε δὲ κατὰ καιρὸν τοῦ πάσχα τὸ μυστήριον
ἐπιτελεῖ· δεικνὺς ἑαυτὸν τῆς παλαιᾶς ὄντα νομοθέτην, καὶ τὰ ἐν ἐκείνῃ
διὰ ταῦτα προσκιαγραφηθέντα, διά τοι τοῦτο ἔνθα ὁ τύπος τὴν ἀλή-
θειαν ἐπιτίθει· ἡ δὲ ἑσπέρα τοῦ πληρώματος τῶν καιρῶν τεκμή-
ριον, καὶ τοῦ πρὸς αὐτὸ ἥκειν λοιπὸν τὸ τέλος τὰ πράγματα· καὶ
εὐχαριστεῖ ὑπὲρ τοῦ πάθους, δεικνὺς τὸ ἑκούσιον, καὶ παιδεύων ἡμ-
ᾶς ὅπερ ἂν πάσχομεν εὐχαρίστως φέρειν. τὸ δὲ μεθ' ὑμῶν φησι, τοῦ-
τ' ἐστιν ὑμῶν μαρτυρούντων· ὑμεῖς γάρ με ὄψεσθε ἀναστάντα· και-
νὸν δὲ τουτέστι ξένον (ξένως) οὐ σῶμα παθητὸν ἔχοντα (ἔχων), ἀλλ' ἀθάνατον λοιπὸν
καὶ ἄφθαρτον καὶ μὴ δεόμενον τροφῆς· ηὐχαρίστησε δὲ καὶ ὕμνησε
καὶ πρὸ τοῦ λαβεῖν καὶ μετὰ τὸ λαβεῖν, ἵνα καὶ ἡμεῖς αὐτὸ τοῦτο
ποιῶμεν, εἰς τὸ ὄρος δὲ ἐξέρχεται· δῆλον ἑαυτὸν ποιῶν πρὸς τὸ συλλη-

φθῆναι, ἵνα μὴ δόξῃ κρύπτεσθαι· ἔσπευδε γὰρ εἰς τὸν τόπον ἐλθεῖν
ἔνθα εἰώθει· καὶ ὁ προδότης ἠπίστατο· ἵνα δὲ μὴ δόξῃ κατηγορία
τις χαλεπὴ εἶναι τοῦτο, καὶ προφητείαν λέγει· ὁμοῦ μὲν πείθων
αὐτοὺς προσέχειν τοῖς γεγραμμένοις, ὁμοῦ δὲ δηλῶν ὅτι καὶ πρὸ
τούτου αὐτὸς αὐτοὺς συνεῖχεν· εἶτά φησι, "μετὰ δὲ τὸ ἐγερθῆ-
ναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν." τοῦτο δὲ ἐποίει· ἵνα τοῦ
φόβου τῶν ἰουδαίων ἀπαλλαγέντες, πιστεύσωσι τοῖς λεγομένοις.
"ὁ δὲ Πέτρος ἔφη αὐτῷ· καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ
"ἐγώ· καὶ λέγει αὐτῷ ὁ ἰησοῦς· ἀμὴν λέγω σοι, ὅτι σὺ σήμερον ἐν
"τῇ νυκτὶ ταύτῃ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με."
τοῦ προφήτου εἰπόντος, τοῦ Χριστοῦ βεβαιώσαντος τὸν λόγον, ὁ Πέ-
τρος φησίν, οὐχί. διὰ τοῦτο ἀφίησιν αὐτὸν πεσεῖν· παιδεύων ἐντεῦ-
θεν πάντα πείθεσθαι τῷ Χριστῷ καὶ τῆς οἰκείας συνειδήσεως πιστοτέ-
ραν ἡγεῖσθαι τὴν ἄγρου αὐτοῦ ἀπόφασιν. τοῦτο τοίνυν καταστεῖλαι
βουλόμενος ὁ Χριστός, συνεχώρησε τὴν ἄρνησιν· ἐπειδὴ γὰρ ἀπηλλάγη
τῆς ἀγωνίας ἐκείνης τῆς κατὰ τὴν προδοσίαν, καὶ δῆλος γέγονεν ὁ
προδότης, θαρρῶν ἔλεγε ταῦτα ὁ Πέτρος ἐκ πολλῆς ἀγάπης· ἠρέ-
μα δέ πως καὶ φιλοτιμίας τὸ πρᾶγμα ἦν. ἐντεῦθεν δὲ μανθάνο-
μεν ὡς οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνωθεν ἀπολά-
υῃ ῥοπῆς. καὶ πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς προ-
θυμίας οὐκ οὔσης. "ὡσαύτως δὲ καὶ πάντες ἔλεγον οἱ μαθηταί."
ὡς ἔλεγε καὶ ὁ Πέτρος. τοῦ ἴσοις γὰρ κεχρῆσθαι λόγοις ἐνῆγε καὶ
τοὺς λοιπούς. "καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ.
"καὶ λέγει τοῖς μαθηταῖς καθίσατε ὧδε, ἕως ἀπελθὼν προσεύξομαι.
"καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυτοῦ καὶ

καὶ τὰ ἑξῆς. ἔθος ἦν αὐτῷ χωρὶς προσεύχεσθαι· τοῦτο δὲ ἐποί-
ει παιδεύων ἡμᾶς ἐν ταῖς εὐχαῖς ἡσυχίαν ἄγειν· οὐ πάντας δὲ παρα-
λαμβάνει ἵνα μὴ καταπέσωσιν· ἀλλὰ τοὺς τῆς δόξης αὐτοῦ θεωροὺς γε-
νομένους· ἀλλ' ὅμως καὶ τούτους ἀφεὶς καὶ μικρὸν προελθὼν προσευχό-
μενος ἤρξατο δὲ λυπεῖσθαι καὶ ἀδημονεῖν· οὐχ ὅτι ἤμελλεν ἀποθανεῖν·
ἠπίστατο γὰρ τὰ ἐκ τοῦ πάθους ἀγαθὰ τῷ κόσμῳ συμβησόμενα· λυπεῖ
δὲ αὐτὸν ὅτι ὁ πρωτότοκος λαὸς ἰσραὴλ οὐδὲ ἐν δούλοις εἰ. τὸ δὲ τῆς
λύπης πάθος ἢ τῆς ἀδημονίας οὐ περὶ αὐτὴν γίνοιτο τὴν θείαν φύσιν·
πάντως γὰρ ἐπέκεινα πάθους ἐστίν· ἐθελῆσαι δὲ φαμὲν τὸν σαρκωθέν-
τα λόγον, καὶ τοῖς τῆς ἀνθρωπότητος κατέχεσθαι μέτροις, διὰ τὸ δο-
κεῖν ὑπομεῖναι τὰ αὐτῆς· οὐ γὰρ δήπου φαίνεται ἂν ὅτι τῆς παρ' ἑτέρου
χειρὸς ἢ ἐπικουρίας ἐν χρείᾳ καθεστηκὼς ποιοῦντα [ἐποιεῖτο] τὰς λιτάς· ἀλλ'
ἵνα ἡμεῖς διὰ τούτου μάθωμεν, μὴ νυστάζειν ἐν πειρασμοῖς· συντείνε-
σθαι δὲ μᾶλλον εἰς προσευχήν. τὸ δὲ προσεύχεσθαι παραχθῆναι εἰ δυνα-
τὸν τὸ ποτήριον πρὸς τοῖς ἤδη περὶ τούτου ἐκθεῖσιν, ὅτι καὶ τῆς ἰου-
δαίων ἀνοσιότητος τὸ χρῆμα κατηγορεῖ· ἦν μὲν γὰρ οὐκ ἀβούλητον
αὐτῷ τὸ παθεῖν· φορτικὸν δὲ ἦν ἑτέρως, διά γε τὴν ἀδοξίαν, καὶ τὸν
ἰουδαίων συναγωγῆς τὸν ὄλεθρον· οὐ γὰρ ἤθελεν κυριοκτόνον γενέσθ-
αι τὸν ἰσραήλ· ἐπειδὴ δὲ οὐκ ἦν μὴ ὑποστῆναι τὸ πάθος, εἵλετο καὶ
αὐτὸ συνευδοκοῦντος αὐτῷ τοῦ πατρός. ὅσον μὲν γὰρ εἰς τὴν ἐκ
τοῦ πάθους ἀδοξίαν, οὐκ ἂν ἤθελεν παθεῖν· καὶ ὅσον προορᾷ τὴν ἰου-
δαίων συναγωγῆς τὸν ὄλεθρον· ἐπειδὴ δὲ οὐκ ἐνεδέχετο μὴ παθεῖν διὰ
τὴν τῶν ἰουδαίων ὠμότητα, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας.
τῷ μὲν οὖν εἰπεῖν, εἰ δυνατὸν παρελθέτω, ἔδειξε τὸ ἀνθρώπινον· τῷ

” δὲ εἰπεῖν ἀλλ' οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ”, τὸ ἐνάρετον καὶ
ἐμφιλόσοφον, ὅτι καὶ τῆς φύσεως ἀνθελκούσης, ἕπεσθαι δεῖ τῷ θεῷ.
” τὸ δὲ οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ”· οὐ δηλοῖ ἄλλο θέλημα τοῦ
υἱοῦ, καὶ ἄλλο θέλημα τοῦ πατρός· σχήματι δὲ λέγει· μὴ τὸ ἐμὸν
ἀλλὰ τὸ σόν· οὐ γὰρ θέλει αὐτὸ παρενεχθῆναι, ἀλλὰ τῷ θελή-
ματι αὐτοῦ ἀναπέμπει τὸ ἐκ τοῦ πάθους κατόρθωμα· ὥσπερ ἀρχὴν
” τιμῶν τὸν πατέρα. ” Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύ-
” δοντας καὶ λέγει τῷ Πέτρῳ· Σίμων καθεύδεις, οὐκ ἴσχυσας μίαν
” ὥραν γρηγορῆσαι· γρηγορεῖτε καὶ προσεύχεσθαι, ἵνα μὴ εἰσέλθη-
τε εἰς πειρασμόν.” ἅπαντες ἐκάθευδησαν· καὶ τῷ Πέτρῳ ἐπι-
τιμᾷ αἰνιττόμενος αὐτὸν ὑπὲρ ὧν ἐφθέγξατο, καίτοι ἑξῆς καὶ (δὲ)
τοῦτο αἰνίττεται· γρηγορεῖτε γάρ φησι καὶ προσεύχεσθαι ἵνα
μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ δὲ μὴ εἰσελθεῖν εἰς πειρασμόν,
οὐ τὸ μὴ πειρασθῆναι δηλοῖ ἀλλὰ τὸ μὴ ἔσω γενέσθαι τῶν πειρασμ-
ῶν, καὶ κυριευθῆναι. εἶτα ἵνα μὴ σφόδρα δόξῃ ἐπιπλήττειν, φησὶ
” τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής”, εἰ γὰρ βούλει

οὐ μὴν γὰρ βούλει
φησίν, ἀλλ' οὐ
πρότερον
δείκνυσι

φησὶν ἀλλ' οὐ πρότερον, εἰ μὴ ὁ θεὸς ὀρέξει χεῖρα, καθέλκεται
γὰρ ἡ σάρξ· καὶ πάλιν προσηύξατο τὸ αὐτὸ λέγων, τουτέστι, οὐ
θέλω ἀλλ' ὡς σύ. δεικνὺς ἐνταῦθα, ὅτι σφόδρα συνᾴδει τῷ θελή-
ματι τοῦ θεοῦ· τὸ γὰρ δεύτερον καὶ τρίτον αὐτὸ λέγειν, ἀληθεί-
ας μάλιστα ἐστὶν ἐν ταῖς γραφαῖς ἐνδεικτικόν, καὶ ὑπὲρ τοῦ πισώ- (πιςοῦ)
σασθαι τὴν οἰκονομίαν. ἐκ δευτέρου δὲ εὐξάμενος ἦλθεν, ὥστε ἰδεῖν
αὐτοὺς καὶ ἐλέγξαι, οὐ μὴν ἤλεγξεν, ἀλλὰ διέστη μικρὸν καὶ πάλιν
προσηύχετο· τοσοῦτον δὲ ἦσαν ῥαθυμήσαντες, ἀπὸ τῆς λύπης οἱ
μαθηταί, ὅτι οὐδὲ ἐπιτιμηθέντες ἠδύναντο καρτερῆσαι· μετὰ γὰρ τοῦ

καὶ ἀωρί

καὶ ἀωρὶ τῶν νυκτῶν εἶναι· καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ἀπὸ τῆς ἀθυ-
μίας ἦσαν βεβαρημένοι, εἰπὼν δὲ ἦλθεν ἡ ὥρα, δείκνυσιν ὅτι οὐ-
κ ἐπὶ τοῦ Ἰούδα ἀλλὰ τῆς οἰκονομίας ἦν, καὶ ὅτι ἑκὼν ἐπὶ τὸ
πρᾶγμα ἤρχετο, καὶ ὅτι ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν, ἰδοὺ
ὁ παραδιδούς με ἤγγικεν, εἰπὼν, δείκνυσιν ὅτι οὐκ ἀνάγκης τὸ
πρᾶγμα ἦν ἀλλ᾽ οἰκονομίας τινὸς ἀπορρήτου· καὶ γὰρ προήδει
ἥξοντα καὶ οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ ὁμόσε χωρεῖ. Καὶ εὐ-
θέως ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς ὢν τῶν δώ-
δεκα· καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων πα-
ρὰ τῶν ἀρχιερέων, καὶ τῶν γραμματέων, καὶ τῶν πρεσβυτέρων.
τὸ εἷς τῶν δώδεκα μέγα πρὸς τὴν ἔνδειξιν καὶ διαβολὴν τῆς τοῦ
Ἰούδα φαυλότητα, ὁ γὰρ ἐν ἴσῳ τοῖς ἀποστόλοις τετιμημένος
τοῖς φονῶσι κατὰ Χριστοῦ γέγονε πρόφασις. δέδωκε δὲ αὐτοῖς
σημεῖον λέγων ὃν ἂν φιλήσω ἐκεῖνός ἐστιν. φθόνῃ γὰρ τάχα ποῦ
δύνασθαι λαθεῖν, φίλημα προτιμῶν εἰς τοῦτον ἀγάπης, προστίθη-
σι δὲ τὸ χαῖρε ῥαββί, τῷ παγιδευθέντι πρὸς θάνατον δι᾽ αὐτοῦ.
ὁ δὲ κύριος ἐξέδωκεν ἑαυτὸν ἑκών. καὶ ἐπέβαλον αὐτῷ [ἐπ᾽ αὐτὸν] τὰς
χεῖρας καὶ ἐκράτησαν. νεανίσκος δὲ οὗτος ὁ παρὰ τῷ Μάρκῳ [κατὰ τὴν νύκτα, καθ᾽ ἣν τὸ πάσχα ἔφαγον.]
νεανίσκος περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, Ἰάκωβός ἐστιν ὁ
τοῦ κυρίου ἀδελφὸς ὁ μετακληθεὶς δίκαιος, ἑνὶ γὰρ μόνῳ περι-
βολαίῳ ἐκέχρητο τὸν πάντα χρόνον τῆς ζωῆς αὐτοῦ. τινὲς δὲ [ἑταῖρος αὐτοῦ]
τὸν παρόντα φασὶ τοῦτον εὐαγγελιστὴν τοῦτον αὐτὸν εἶναι· διὸ καὶ
τὸ ὄνομα ἐκεῖ ἐσιώπησεν. ἴσως δὲ καὶ ἕτερος ἀπὸ τῆς οἰκίας
ἐκείνης ἐν ᾗ τὸ πάσχα ἔφαγον ἠκολούθησεν αὐτῷ καὶ κρατηθεὶς

ὑπὸ τῶν συλλαβόντων τὸν Ἰησοῦν καταλιπὼν τὴν σινδόνα ἔφυγεν.
εἰ γὰρ οἱ μαθηταὶ ἔφυγον καταλιπόντες αὐτόν, τί οὐκ ἂν ἐποίησαν
οἱ ἀγνώμονες (ἁμαρτῶντες) » Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιε-
ρέα καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
καὶ οἱ γραμματεῖς. » ἀπήγαγον τὸν Ἰησοῦν πρὸς Ἄνναν ὅπου
ἦσαν ἅπαντες συνηγμένοι, ἵνα μετὰ γνώμης πάντα ποιῶσι τῶν ἀρ-
χιερέων· ἐκεῖνος γὰρ ἦν τότε ἀρχιερεύς. συνήχθησαν ἅπαντες οὖν
καὶ ἐρωτῶσιν οὐχ ἁπλῶς ἀλλὰ βουλόμενοι σχῆμα περιθεῖναι τῇ
ἐπιβουλῇ ταύτῃ δικαστηρίου. » Καὶ ἐζήτουν κατ' αὐτοῦ μαρτυ-
ρίαν εἰς τὸ θανατῶσαι⸸ καὶ οὐχ εὕρισκον. πολλοὶ γὰρ ἐψευ-
δομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν.
ἔλεγον δὲ ὅτι οὗτος εἶπεν, ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν
χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδο-
μήσω. » καὶ διὰ τῆς ~~προσθήκης~~ προσθήκης τοῦ χειροποίητου ηὔ-
ξησαν τὴν συκοφαντίαν. οὐκ εἶπεν [ὁ κύριος] ὅτι [οὐ] λύσω, ἀλλὰ
λύσατε τὸν ναὸν τοῦτον, καὶ οὐδὲ περὶ ἐκείνου, ἀλλὰ περὶ τοῦ
ἰδίου σώματος. τί οὖν ὁ ἀρχιερεύς, βουλόμενος εἰς ἀπολογίαν
καταστῆσαι, ἵνα ἐξ αὐτῆς αὐτὸν ἕλῃ φησίν, οὐκ ἀποκρίνῃ οὐδέν
τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ ἐσιώπα. ἀδιανόητα γὰρ τὰ
τῆς ἀπολογίας, οὐδενὸς ἀκούοντος. πάλιν δὲ ὁ ἀρχιερεύς⸸ εἰ
αὐτὸς εἶ ὁ χριστός. καὶ ἐπειδὴ χριστοὶ ἐκαλοῦντο καὶ οἱ ἱερεῖς
καὶ οἱ προφῆται, καὶ βασιλεῖς, προστίθησι κατεξαίρετον ὁ υἱὸς
τοῦ εὐλογητοῦ, ἵνα εἴπῃ τοῦ θεοῦ. ἐπ' ἐλέγχῳ δὲ αὐτοῦ ἡ
ἀπόκρισις, τὸ ἐγώ εἰμι. οὐ γὰρ ὡς δυνάμενος πιστεῦσαι

⸸ αὐτόν

⸸ ἐπηρώτα

τοῦτο εἶπεν, ἀλλ' ἵνα μηδὲ τοῦτο ὑπολείπηται, ὅτι οὐ σαφῶς ἤκου-
ἔλεγχος
σα δηλοῦντος ἑαυτὸν ὄντα χριστόν, τὸ δὲ ἐστιν ἐλέγχοντος, ὅτι
οὐ παντελῶς διέλαθεν αὐτοὺς τὸ πρᾶγμα, διὰ τὴν ἐκ τῶν ση-
μείων ἐπίγνωσιν. πόθεν γὰρ τὸ λέγειν τοῦτον μόνον τὸν χριστόν, ὅπερ
οὖν ἐφ' ἕτερον εἰρήκασιν. ἐπιφέρει δὲ καὶ τὸ τῆς χριστοῦ ἀπειλ-
ῆς, ὅτι ὄψονται αὐτὸν ἐν τῇ οὐρανίῳ δόξῃ φαινόμενον. τὸ δὲ
ἐκ δεξιῶν τῆς δυνάμεως, τὴν δόξαν λέγει τὴν ἐξ οὐρανοῦ φαινο-
μένην, οὐ σχῆμα σωματικόν. οὐδὲ γὰρ ὁρᾶται θεός, ἵνα καὶ ἡ
ἐκ δεξιῶν καθέδρα, σωματικῶς θεωρεῖσθαι λέγηται, ἀλλὰ τὸν ἐν τῇ
μεγίστῃ δόξῃ τῇ ὁρατῇ θεωρηθησόμενον, ἐκ δεξιῶν εἶπε θεωρεῖ-
σθαι ὡς τῆς ὁρατῆς ταύτης δόξης. τῇ ἀοράτῳ ἐκείνῃ συναπτομέ-
νης ἐγγύτατα. Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω
ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν Πέτρον
θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει. καὶ σὺ μετὰ τοῦ Ναζαρη-
νοῦ Ἰησοῦ ἦσθα. ὁ δὲ ἠρνήσατο λέγων, οὐκ οἶδα οὐδὲ ἐπίσταμαι
ὅ τι σὺ λέγεις. ἠρνήσατο τὸν τῶν ὅλων σωτῆρα καὶ κύ-
ριον ὁ μακάριος Πέτρος, καὶ οὐχ ἅπαξ ἀλλὰ καὶ τρὶς καὶ ἐνώ-
μοτον ἐποιεῖτο τὴν ἄρνησιν διὰ ῥῆμα παιδισκης, εἴτε τῆς αὐτῆς ἐκ τῆς πάλιν
ὡς οὗτος ὁ Μάρκος φησίν, εἴτε ἄλλης ὡς Ματθαῖος καταμηνυού-
σης ὡς εἴη τῶν μαθητῶν εἷς, οὐ γὰρ ἐξηκρίβωται τοῦτο τῇ μνήμῃ
ὁπωσοῦν τε
τῶν γραψάντων. ἐπεὶ μηδὲ συνεχὲς ἦν εἰς τὴν λέξιν ὁπότε ὅλου-
κᾶς οὐ παιδίσκην ἀλλ' ἄνδρα λέγει τὸν διϊσχυριζόμενον, ὅτι με-
τὰ Ἰησοῦ καὶ οὗτος ἦν. τῶν δὴ τοιούτων οὐ σφόδρα συνεχόν-
των συμπεφώνηται τὸ προκείμενον ὅτι καὶ δεύτερον ὁ Πέτρος

ἠρνήσατο μετὰ ὅρκου μὴ εἰδέναι τὸν ἄνθρωπον· καὶ πάλιν ἄλλων
τὰ αὐτὰ ἐπιφερόντων, σφοδροτέρως ἀπώμνυτο· ὡς δὲ ὀλίγον ὁ φό-
βος παρῆλθε· καὶ ἀνερρώσθη πρὸς τὴν μνήμην ὁ λογισμὸς, παραδό-
ξως εὑρίσκει τὸν ἔλεγχον αὐτοῦ γεγενημένον ὃν ὁ κύριος εἶπε·
τὸ σημεῖον τοῦ ἀλεκτρυόνος αἰσθανόμενος τινα ἠρνήσατο ἐξελθὼν
ἔξω ἔκλαυσε πικρῶς· προσεληλυθότος αὐτῷ τοῦ τρίτου. φησὶ δὲ ὁ
παρὼν εὐαγγελιστὴς ὅτι ὅτε ἅπαξ ἠρνήσατο· καὶ οὐδὲ ὑπὸ κυρίου
τότε πρῶτον ἐφώνησεν ὁ ἀλεκτρυὼν, ὅτε δὲ τρίτον ἠρνήσατο, τὸ
δεύτερον ἐφώνησεν· ἀκριβέστερον ἐξηγούμενος τοῦ Πέτρου τὴν ἀσθέ-
νειαν, καὶ ταῦτα παρ' αὐτοῦ τοῦ διδασκάλου μαθών, καὶ γὰρ φοι-
τητὴς ἦν τοῦ Πέτρου ὁ Μάρκος. σύμφωνα δὲ τὰ παρὰ Ματθαίῳ καὶ Μάρ-
κῳ, εἰ καὶ δοκεῖ ἐναντία εἶναι· ἐπειδὴ γὰρ καὶ καθ' ἑκάστην ἀγωγὴν
τρίτον καὶ τέταρτον εἴωθε φωνεῖν ὁ ἀλεκτρυών. δηλοῖ ὁ Μάρκος
ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἐπέσχε, καὶ εἰς μνήμην ἤγαγε, τοῦτό φησιν
ὡς ἀμφότερα ἀληθῆ· πρὶν ἢ γὰρ τὴν μίαν ἀγωγὴν ἀπαρτίσαι
τὸν ἀλεκτρυόνα, τρίτον ἠρνήσατο· καὶ οὐδὲ ὑπὸ τοῦ κυρίου τῆς ἁμαρ-
τίας ἀναμνησθείς, κλαῦσαι ἐτόλμα φανερῶς, ἀλλ' ἐξελθὼν ἔξω
τότε ἔκλαυσε πικρῶς. ἄλλος δέ φησιν ὡς τοῦ Ματθαίου ἀορί-
στως πρὶν ἀλέκτορα φωνῆσαι λέγοντος, τὸ παρειμένον προσέθη-
κεν ὁ Μάρκος, συνήθως λεγόντων [λέγων] τὴν ἐπικρατεστέραν τῶν κα-
τῶν ἀλεκτρυόνων ἐκφώνησιν ὥσπερ καὶ ἡμέραν τὴν καθαρὰν καὶ
τοῖς πᾶσι διαφανῆ· ἡρμήνευσεν οὖν ὁ παρὼν εὐαγγελιστὴς τὸ
πρὶν ἀλέκτορα φωνῆσαι· ποίαν ἢ ποῦ [ἤγουν] τὴν δευτέραν καὶ πᾶσι κα-
„ ταφανῆ, οὐχ ἐναντιούμενος τοῦ ἄλλου. „ Καὶ ἀγγαρεύουσι
παράγοντα

Victor antiochen. c. 14.
citat origenem vid.
Biblioth. magn. patrum. tom. 4.
[illegible] non
[illegible] tract. 35 in Matth. [illegible]
comm. in [illegible]

74

2295826

1